Scholia and Glosses on Oppian's Halieutica: Book 3 by Scholia on Oppian

3 *ΕΙΣ ΤΟ Γ′.*

Κεφάλαια τοῦ τρίτου βιβλίου.
Περὶ κεστρέως. Περὶ μορμύλου. Περὶ ξιφίου. Περὶ συνόδων. Περὶ ἄδμωνος. Περὶ κανθάρων. Περὶ τευθίδων. Περὶ σκάρου. Περὶ ὀρκύνων. Περὶ σηπίας. Περὶ θύννων. Περὶ λάβρακος. Περὶ τρίγλης. Περὶ ῥαφίδων. Περὶ νάρκης. Περὶ σαλπῶν. Περὶ σφυραίνης. Περὶ καλλίχθυος. Περὶ σκόμβρου. Περὶ ἀμιῶν. Περὶ θρισσῶν. Περὶ μελανούρων. Περὶ ἀνθιέων.

3.1 Νῦν δ’ ἄγε· παρακελευσματικὸν, πρὸς τὸν βασιλέα ἡ πρότασις· φησὶ γάρ· νόει καὶ γίνωσκε τὰς ποικίλας τῶν ἁλιέων τέχνας· τέσσαρες γὰρ τρόποι εἰσὶν αὐτῶν. νῦν δ’ ἄγε· πρὸς τὸν βασιλέα φησίν· σκόπει καὶ γίνωσκε καὶ μάνθανε τὰς ποικίλας τῶν ἁλιέων τέχνας· τέχνης τῆς ἁλιευτικῆς τέσσαρες αἱ θῆραι· οἱ μὲν γὰρ αὐτῶν ἀγρεύονται κύρτοις, οἱ δ’ ἀγκίστροις, οἱ δὲ δικτύοις, οἱ δὲ γαγκάμαις. μοι· δι’ ἐμοῦ. σκηπτοῦχε· βασιλεῦ. παναίολα· ποικίλα, πυκνὰ, πανοῦργα. δήνεα· βουλεύματα, βουλάς.

3.2 Ἰχθυβόλου· τῆς ἁλιευτικῆς. φράζεο· σκόπει, καὶ νόησον. φράζοιο· μάνθανε, σκόπει, σκέπτου. ἀγρευτῆρας· ἀγρευτικοὺς, κυνηγετικούς. ἀέθλους· ἀγῶνας, σπουδὰς, πόνους.

3.3 Θεσμῶν· νόμων, μηχανῶν, τύπων. θεσμόν· νόμον. εἰναλίων· θαλασσίων, τῶν ἰχθύων. ξυμβάλλεο· νόει, πρόσεχε, ἄκουε, σύνες, κατανόει, μάνθανε, ὅρα· ὁ Κρατῆς· ὅταν συντάσσῃς συμβάλλεο καὶ σύνες, πρέπον συντάσσειν τινῶν τῶν θεσμῶν τῶν νομίμων καὶ ὡρισμένων τύπων καὶ μηχανῶν, λέγω τῶν εἰναλίων, ἢ τῶν ἰχθύων, ἢ τῶν ἁλιέων· τὸ συμβάλλω γὰρ, ἤτοι τὸ σύνειμι γενικῇ, ὡς τὸ σύνες τῆς κραυγῆς μου· ὅταν δὲ ξυμβάλλεο καὶ νόει, ὅρα ἵνα συντάξῃς τινὰ τὸν θεσμὸν καὶ τὸν νόμον καὶ τὸ ἔθος· ξυμβαλεῖν τὸ νοῆσαι· ξυμβολαὶ ἐπὶ ποταμῶν καὶ ἐφ’ ἑτέρων ὑδάτων μίξει· συμβολὴ καὶ ἐπὶ συνάξει πολέμου. τέρπεο· χαῖρε. οἴμῃ· ἐποποιίᾳ, ἐν τῇ ποιήσει.

3.4 Σοῖς μὲν ὑπὸ σκήπτροισιν· σῶν ἐν σκήπτρων.

3.5 Εἰλεῖται· φέρεται, κρατεῖται, κινεῖται, ὑποτάσσεται, περιέχεται, διοικεῖται. φῦλα· τῶν ἰχθύων, τὰ κατοικοῦντα. ἐναύλων· στενῶν τόπων, τῶν κατασκηνωμάτων· λείπει τόπων, διατριβῶν. ἐναύλων· καὶ θαλασσίων οἰκήσεων, τῶν αὐλισμάτων. ἄλλως· τῶν γενῶν τῶν ἐναύλων καὶ τῶν ἀπὸ τῶν χειμάρρων ἀποτελουμένων, τὰ γένη τὰ ἐπὶ στενωπῶν καὶ ἐπιμηκῶν τοῦ Ποσειδῶνος οἰκοῦντα.

3.6 Τοι· ἤως διά σου, ἢ ἔν σοι, καί σου. μετ᾽ ἀνδράσι· ἐν, ὑπὸ τῶν ἀνδρῶν. πορσύνονται· κατασκευάζονται, εὐτρεπίζονται, τελειοῦνται, οἰκονομοῦνται.

3.7 Σοι· τινι· ἀνέηκαν· ἔπεμψαν, ἀνέδωκαν, ἀνεβλάστησαν, ἀνέπεμψαν, ἐγέννησαν.

3.8 Δαίμονες· αἱ Μοῦσαι, αἱ θεαί. ἐν Κιλίκεσσιν· ἀπὸ τῶν Κιλίκων· ἐκεῖ γὰρ ἔμαθεν. Ἑρμαίοις· τοῦ Ἑρμοῦ. ἀδύτοισι· ναοῖς, ἀπὸ τῶν ἀδύτων, τοῦ Ἑρμοῦ ναοῦ· σημείωσαι ὅτι Ἑρμοῦ ἄδυτον ἢ αἱ διατριβαὶ τῶν λογίων ἀνδρῶν, ἢ τὸ τῆς σοφίας βαθύ. ἄλλως· ἀπὸ τῶν Ἑρμαίων σπηλαίων· κἀκεῖ γὰρ ὕμνησαν τὸν Ἑρμῆν, ὡς Ἑρμοῦ μάλιστα ἐν Κιλικίᾳ τιμωμένου· Κίλιξ γὰρ ὁ ποιητὴς ἀπὸ τῆς Ἀναζάρβου, ὅπου ἦν Ἑρμοῦ ἱερόν· διὰ τοῦτο τὸν Ἑρμῆν ἀνακηρύττει. ἄλλη σύνταξις· ὦ Ἑρμῆ, ὑπέρτατε τῶν τέκνων τοῦ Διὸς, τὴν ὁδὸν τῆς φωνῆς ἐμοὶ καὶ ἐμοῦ φαῖνε καὶ ἐν τοῖς ἀνθρώποις τί νόημα ἐπίκερδον εὐθυποιῶν καὶ σήμαινε καὶ προεξάρχου.

3.9 Πατρώιε· προγονικὲ, πατρικὲ, γονικὲ θεέ. φέρτατε· ὑψηλότατε, καὶ κρεῖττον.

3.10 Αἰγιόχου· τοῦ Διός· Αἰγιόχος υἱὸς τοῦ Κρόνου· διὰ τοῦτο ἐκλήθη οὕτως, ὅτι ὁ Κρόνος ἐποίει τέκνα καὶ ἔτρωγεν αὐτά· γεννηθεὶς οὖν ὁ Ζεὺς ἀπ᾽ αὐτοῦ, ἀπῆρεν αὐτὸν ἡ μήτηρ αὐτοῦ καὶ ἀπῆγεν αὐτὸν εἰς τὴν Κρήτην, καὶ ἔδωκεν αὐτὸν ἐκεῖ τρέφεσθαι, καὶ ἐτρέφετο ἐκεῖ ὑπὸ γυναικὸς καλουμένης Αἰγοῖ, καὶ ἐνεδύετο καὶ αἰγὸς δέρμα. ἄλλως· αἰγιόχος ἐκλήθη ὁ Ζεὺς διὰ τὸ ἐν τῇ Κρήτῃ ἀποτεχθεὶς γάλακτι αἰγὸς ἐτρέφετο ἀπὸ τοῦ αἴξ αἰγὸς καὶ τοῦ ὀχὴ ἡ τροφή· τὸ δ᾽ εἰπεῖν νύσσαν ἀοιδῆς κέρδιστον

ἀνθρώποις νόημα ἀττικὴ ἡ σύνταξις. κέρδιστον· ἐπικερδὲς, πανοῦργον, ποικίλον. νοήμα· νοῦς, γνῶσις, βουλὴ, ἤως τὴν τέχνην, τὴν βουλὴν, τὴν γνῶσιν.

3.11 Φαῖνε· δείκνυε. σήμαινε· δείκνυε, λέγε, δήλου, ἃ προθέμην εἰπεῖν δίδασκε. νύσσαν· τὴν ὁρμὴν, ἀρχὴν, τὴν πορείαν, εἰς τήν. ἀοιδῆς· ποιήσεως, τραγῳδίας, φωνῆς.

3.12 Ἰθύνων· ὀρθοποιῶν. δέ· γάρ. περισσονόων· καὶ τῶν φρονίμων, πολυνόων, τῶν περισσῶς βουλευόντων.

3.13 Αὐτός· σύ. ἄναξ· ὦ Ἑρμῆ. ἐμήσαο· ἐμήσω, ἐβουλεύσω, ἐμηχανήσω. τέλος· εὕρημα, τὴν τάξιν καὶ πλήρωμα, καὶ κατάστασιν καὶ σκευήν.

3.14 Παντοίης· παντοῖα. ἀνέφηνας· ἀνέδειξας. ἐπ᾽ ἰχθύσι· κατὰ τῶν ἰχθύων. κῆρας· ἄγρας, μοίρας θανατηράς. ὑφαίνων· κατασκευάζων, πλέκων.

3.15 Πανί· τῷ· Πᾶν λέγεται διὰ τὸ γενέσθαι αὐτὸν ἐκ Πηνελόπης καὶ τῶν μνηστήρων πάντων· οἱ γὰρ νεώτεροι πόρνην λέγουσι τὴν Πηνελόπην, ἄλλοι δ᾽ ἐκ Πηνελόπης καὶ Ἑρμοῦ λέγουσιν εἶναι τὸν Πᾶνα. λέγεται Πᾶν ἀλληγορικῶς παρὰ τὸ ἐοικέναι τῷ κόσμῳ, κατὰ μὲν τὰ κέρατα ἡλίῳ καὶ σελήνῃ, κατὰ δὲ τὰ σκέλη τῇ γῇ διὰ τὸ δασὺ τῶν τριχῶν, κατὰ δὲ τὰ μέσα τοῖς μετεώροις διὰ τὰς καταιγίδας, Κωρυκίῳ δὲ τῷ ἐν Κωρύκῳ, Κωρύκιον δὲ τόπος ἐν Ἰσαυρίᾳ ἀντρώδης, ἢ σπηλαιώδης, καὶ φρούριον ἐν αὐτῷ παρὰ θαλάσσης. Κωρυκίῳ· τῷ ἐν Σικελίᾳ τιμωμένῳ· οἰκεῖ γὰρ ἐπὶ τὸν Κωρύκιον σπήλαιον. Κωρυκίῳ· σπηλαίῳ. παρακάτθεο· ἐδίδαξας, καὶ παρέδωκας, παρακατέθου, ὦ Ἑρμῆ, τῷ υἱί σου Πανὶ τὴν τέχνην τὴν ἁλιευτικήν.

3.16 Παιδὶ τεῷ· τῷ σῷ παιδί· Ἑρμοῦ γὰρ καὶ Πηνελόπης ὁ Πᾶν. ῥυτῆρα· ἐλευθερωτὴν, ῥύστην· τῇ Τιτανομαχίᾳ λέγει, ὅτ᾽ ἐκεραύνωσε τὸν Τυφῶνα ἀπατηθέντα ὑπ᾽ αὐτοῦ τοῦ Πανός· Τυφῶν οὗτος εἷς ἐστι τῶν Τιτάνων, καὶ αὐτὸς μάχιμος τῷ Διὶ καὶ τοῖς θεοῖς· ὁ Ζεὺς οὐχ εὕρισκεν αὐτὸν ἔξω τοῦ βυθοῦ, ἵνα κεραυνώσῃ αὐτόν· τοῦτον ἔπεισεν ὁ Πᾶν, ὡς ἐπὶ δεῖπνον καλέσας, ἐκ τοῦ βάθους τῆς γῆς ἀνελθεῖν· ἐκεῖσε γὰρ ᾤκει·

καὶ ἐλθεῖν εἰς τὴν ἀκτὴν τοῦ ἁλὸς, ὅπου ἔπιπτον οἱ κεραυνοὶ καὶ αἱ ἀστραπαὶ τοῦ Διὸς, ὑφ᾽ ὧν φλεχθεὶς ὤλετο.

3.17 Ῥυτῆρα· ῥύστην, βοηθὸν, φύλακα. Τυφαόνιον· τοῦ Τυφῶνος. ὀλετῆρα· φθορέα. Τυφαόνιον δ᾽ ὀλετῆρα· φύλακα τοῦ Τυφῶνος τοῦ κατοικοῦντος ἐν τῷ βάθει τῆς θαλάσσης· σχῆμα περίαυσις διὰ τὸ ῥᾶ ῥᾶ ῥυτῆρα καὶ ὀλετῆρα.

3.18 Κεῖνος· ὁ Πᾶν, ὡς ὢν ἔφορος τῆς ἁλίας. ἐπ᾽· ἐν. δείπνοισιν ὑπ᾽ ἰχθυβόλοισι· ἐν τοῖς ἰχθυηροῖς δείπνοις. ἰχθυβόλοισι· ἀγρευομένοις. δολώσας· ἀπατήσας, ποιήσας, δηλοποιήσας.

3.19 Σμερδαλέον· καταπληκτικὸν, ποικίλον, καίριον, φοβερόν. παρήπαφεν· ἠπάτησεν. βερέθρου· βαράθρου, βάθους, βάθους τῆς γῆς.

3.20 Δύμεναι· ἀνελθεῖν, ἐξελθεῖν. εὐρωποῖο· τοῦ σκοτεινοῦ «κατ᾽ εὐρώεντα κέλευθα,» καὶ τοῦ πλατέος παρὰ τὸ εὐρύ. ἐλθέμεν· ἐξελθεῖν. ἀκτήν· αἰγιαλόν.

3.21 Ὀξεῖαι· ταχεῖαι. στεροπαί· ἀστραπαί. ῥιπαί· ὁρμαὶ, φοραί.

3.22 Ζαφλεγέες· ἄγαν φλογεραὶ, ἔξοχα φλέγουσαι. πρήνιξαν· ἔκαυσαν, ἔσχισαν, ἢ πρηνῆ κατεκρήμνισαν, ἢ κατέβαλον. ὄμβροις· ῥεύμασιν. πυρὸς ὄμβρῳ· συνοχῇ τῶν κεραυνῶν· κεραύνου ὄμβρος, ὅτι ὁ κεραυνὸς ὡς ὄμβρος καὶ ὕδωρ τῇ ταχύτητι κέχυται.

3.23 Κρᾶθ᾽ ἑκατόν· τὰς ρ′ κεφαλὰς, τὰς κράτας, περιστυφελίζετο· συνετρίβετο, προσεκρούετο, ἐταράσσετο.

3.24 Ξαινόμενος· συρόμενος, τυπτόμενος, μαστιζόμενος, ξυνθλιβόμενος, συντριβόμενος. ἠιόνεσσιν· αἰγιαλοῖς. ἔθειραι· αἱ τρίχες αἱ οὖλαι ἀπὸ τοῦ ἔθος ἔχειν εἴρεσθαι· γράφεται ἔτι ὄχθαι· αἱ τοῦ Τυφῶνος οὖν τῆς κεφαλῆς τρίχες ἔτι καὶ νῦν φησι κατὰ τοὺς αἰγιαλοὺς βεβαμμέναι κεῖνται τῷ αἵματι τοῦ Τυφῶνος, καὶ τοῦτό γε, παρακολουθήσαντος θορύβου, ὅθ᾽ ὑπὸ τῶν κεραυνῶν κατεφλέγετο τοῦ Διὸς, τὰς ἑκατὸν κεφαλὰς ξαινόμενος καὶ προταρασσόμενος ἁπαντῶν ἐν πέτραις. ἄλλη σύνταξις· αἱ ξανθαὶ τρίχες τοῦ Τυφῶνος ἀκμὴν ἐν τοῖς αἰγιαλοῖς βάπτουσι λῦθρον, ἐκεῖ λέγω

ὅπου ἐφθάρη. διπλῆ σύνταξις· ξανθαὶ ἀκμὴν αἱ ὄχθαι τῆς θαλάσσης βάπτουσι καὶ φυλάσσουσι τοῦ αἵματος τὴν κοκκινότητα, τῶν θορύβων καὶ πολυλαλιῶν. ἄλλως· ξανθίζουσι τρίχες παρὰ τοῖς αἰγιαλοῖς, ἤτοι αἱ ἐπαναστάσεις, βαπτόντων τῷ αἵματι τῶν Τυφάωνος θορύβων, πολυλαλιῶν.

3.25 Λύθρῳ· αἵματι, τὸ ἐρυθρὸν χρῶμα. λύθρῳ ἐρυθριόωσι· τῷ ἐρυθρῷ τοῦ αἵματος βάπτονται. ἐρευθιόωσι· φυλάττουσιν, ἢ ἐβάπτοντο, κοκκινίζουσιν. ἐρευθιόωσαι· κοκκινίζουσαι. Τυφαονίων· φόνων, πολέμων. ἀλαλητῶν· θορύβων, ὀδυρμῶν, πολυταράχων ἀπὸ τοῦ α τὸ πολὺ καὶ τοῦ λαλῶ.

3.26 Κλυτόβουλε· περιώνυμε, περίφημε, ποικιλόβουλε. ἱλάσκονται· ἐξευμενίζονται, ἐξευμενίζουσιν.

3.27 Ἰχθυβόλοι· ἁλιεῖς. τῷ· διό. σὺν ἀγραίοισιν· ἀγρευτικοῖς, σὺν τοῖς ἐφόροις τῆς ἄγρας, τοῖς συνέργοις. ἀΰσας· ὑμνήσας, προϋμνήσας, καὶ γίνεται ἐκ τοῦ αὔω τὸ φωνῶ· φωνῶ ἐφ᾽ ὕμνῳ, ἐννέπω ἐπὶ θρήνων· διὰ τοῦτο καί σε σὺν τοῖς τῆς ἁλιευτικῆς ἀγρευτικῆς ἄγρας ἐφόροις θεοῖς βοήσας ἐπὶ τὴν φήμην τῆς ἄγρας τῆς καλῆς ἔρχομαι.

3.28 Δαίμοσιν· θεοῖς, Ποσειδῶνι καὶ Ἑκάτῃ· δαίμονες οὐσίαι ἄυλοι βλαπτικοὶ, θεοὶ οὐσίαι ἄυλοι ἀγαθοποιοὶ, ἥρωες δὲ πάντες οἱ ἀρετὴν μετερχόμενοι. κατὰ κλέος· ἐς, εἰς, εἰς τὴν ᾠδὴν, εἰς τὴν φήμην. οἴμης· ᾠδῆς, τῆς ποιήσεως.

3.29 Πρῶτα μέν· διήγησιν νῦν ἄρχεται λέγειν, ὁποῖον δεῖ εἶναι τὸν ἁλιέα, οὐ μόνον ἐν τῷ σώματι ἀνδρεῖον, ἀλλὰ καὶ ἐν τῇ ψυχῇ· φησὶ γάρ· τὸν ἁλιέα μήτε παχὺν ὀφείλει εἶναι, μήτε λεπτὸν, ἀλλὰ μέσον λεπτότητος καὶ παχύτητος διὰ τὴν πολλὴν ἐνέργειαν καὶ ἐργασίαν τὴν περὶ τὴν θάλασσαν καὶ διὰ τοὺς ἰχθύας. ἀσπαλιῆι· ἁλιεῖ. δέμας· σῶμα. γυῖα· μέλη· γράφεται γονῆα. παρείη· παρέστω, ὑπαρχέτω, ὑπαρχέτωσαν.

3.30 Ἀμφότερον· κατὰ δύο, καὶ τὰ δύο πως· ὁμηρικὸν τὸ σχῆμα· ὅμοιον τά ἀμφότερον βασιλεὺς ἀγαθὸς κρατερός τ᾽ αἰχμήτης.

κραιπνά· ταχέα, ταχύτατα. ἄλκιμα· ἰσχυρὰ, καὶ στερεὰ τὴν ἰσχύν. τι· κατά τι.

3.31 Πίονα· παχέα, λιπαρά. σαρκί· γράφεται ἀλκῇ. λελειμμένα· πτωχὰ, ἐστερημένα, ἐλλείποντα. ἀνάγκη βία.

3.32 Κρατεροῖσι· ἰσχυροῖς. ἀνελκομένοισι· ἄνω φερομένοις.

3.33 Ὑπέροπλον· ἰσχυρὸν, μέγα, ὑπερδύναμον. ἔνι· ὑπάρχει.

3.34 Μητρός· τῆς θαλάσσης. ἀγκοίνῃσιν· ἀγκάλαις, κόλποις, κοιλώμασιν. ἑλισσόμενοι· ἀναστρεφόμενοι. δονέωνται· ταράσσονται, κινοῦνται, συστρέφονται, περιφέρονται, κλονοῦνται.

3.35 Χρειώ· χρεία. χρειὼ δ’ ἐκ πέτρης· πέτρης, ἢ εἰς πέτρην, ἢ καὶ εἰς ἅλα πηδᾷν, κἀκεῖθεν ῥᾳδίως εἰς πέτραν ἀνιέναι, ἀπὸ τοῦ βυθοῦ ἀνατρέχοντα ἄνω. χρεία δ’ ἐκ τῆς πέτρας εὐκόλως πηδᾷν εἰς τὴν ἅλα τὸν ἁλιέα, καὶ ἀπὸ ἐξ ἁλὸς πηδῆσαι εἰς τὴν θάλασσαν. χρεία δ’ ἐκ τῆς πέτρας εἰκότως πηδᾷν εἰς τὴν ἅλα τὸν ἁλιέα καὶ ἀπὸ τοῦ βυθοῦ ἀνατρέχειν πάλιν εἰς πέτραν ἄνωθεν. θορεῖν· πηδῆσαι. ἀνοροῦσαι· ἀνελθεῖν, ἀνορμῆσαι. πέτραν· εἰς.

3.36 Πόνου· ἐνεργείας, ὑπηρεσίας. βυθίοιο· εἰς τὸν βυθὸν, θαλαττίου, ἐπιθαλασσίου. ταθέντος· ἐλθόντος, μηκυνθέντος, ἁπλωθέντος, ἐπικειμένου.

3.37 Ῥίμφα· ταχέως, εὐκόλως, ῥᾳδίως. διιχνεῦσαι· διελθεῖν, ἐκπλεῦσαι, κολυμβῆσαι, διαδραμεῖν, διερευνῆσαι. δολιχόν· μακρόν. πόρον· πορείαν. βάθιστα· βάθη.

3.38 Μετ’ οἴδμασιν· ἐν οἴδμασιν.

3.39 Δηθύνειν· ἐπιμένειν, βραδύνειν. πονεύμενον· πονοῦντα, μοχθοῦντα, ἐνεργοῦντα. οἷς· ἔργοις, ἐν ἐκείνοις. ἐπί· ἐν.

3.40 Ἀεθλεύουσι· ἀγωνίζονται, κοπιῶσι, μοχθῶσι, ὑπομένουσιν. ταλάφρονα· κρατερὸν, καρτερόφρονα, καρτερόψυχον ἀπὸ τοῦ τλῆναι τὸ ὑπομεῖναι,

καὶ τοῦ φρονεῖν, ἢ ἀπὸ τοῦ τλῶ τὸ καρτερῶ καὶ τοῦ φέρω τὸ ὑπομένω. πόνον· μόχθον.

3.41 Ψυχήν· κατά. πολυδαίδαλος· ποικίλος, πανοῦργος, φρόνιμος, πολύδουλος, πολυσύνετος, πολυνόητος· ἢ πολυπαίπαλος κατατετριμμένος· παιπάλη γὰρ ἡ πασπάλη τοῦ ἀλεύρου. ἄλλως· πολυδαίδαλος ἀπὸ μεταφορᾶς τινος Δαιδάλου ἀνθρώπου οὕτως καλουμένου· λέγουσι γὰρ τοῦτον μὴ λαμβάνειν τι τῶν τεχνῶν καὶ ἐπιστημῶν. πολυδαίδαλος· ἀπὸ τοῦ δαιδάλλειν ὅστις πᾶσαν ἀσκῶν τέχνην ποικίλος κατὰ τὴν γνῶσιν ἦν καὶ ἐπιστημονικώτατος. πολυπαίπαλος· παιπάλη τὸ τῶν ἀλεύρων λεπτόν. νοήμων· φρόνιμος, ἐπινοητής.

3.42 Εἴη· ἔστω. αἰόλα· ποικίλα, δόλια. μηχανόωνται· μετέρχονται.

3.43 Ἀνωίστοισι· ἀπροσδοκήτοις, ἀπροόπτοις, ἀνελπίστοις, ἀπρονοήτοις κατὰ στέρησιν τοῦ οἴεσθαι, ἤτοι ἐλπίζειν καὶ ὑπολαμβάνειν κατ᾽ ἔκτασιν τοῦ ο εἰς ω· ἐκ τούτου ἐπίρρημα ἀνωιστί τὸ ἀνελπίστως καὶ ὡς οὐκ ἄν τις οἴηται.

3.44 Τολμήεις· τολμηρός· γράφεται ἄλκιμος. ἄλκιμος· ἰσχυρός. ἄτρομος· ἄφοβος. ἠδὲ σαόφρων· καὶ φρόνιμος, νοήμων.

3.45 Ὕπνων· ὕπνου. φιλέει· φιλείτω. κόρον· πλησμονήν. ὀξύ· γρήγορον. λεύσσοι· βλεπέτω.

3.46 Ἐγρήσσων· γρηγορῶν, ἐγρηγορῶν. πεπταμένοισιν· ἠνεῳγμένοις, διεγηγερμένοις, ἐγρηγορῶσιν.

3.47 Εὖ· εὐκόλως. φέροι· φερέτω. διός· ἀέρος. δίψιον· καυσώδη, τὴν θερινὴν, ὡς δίψης ποιητικήν.

3.48 Σειρίου· ἡλίου, ἢ τοῦ κυνάστρου· σείριος οὐ μόνον ὁ ἥλιος κατὰ τὴν κοινὴν χρῆσιν, ἀλλὰ καὶ τὸ ἄστρον τῆς κυνὸς, οὗ ἐπιτέλλοντος καυσοῦται ὁ ἀὴρ, ἐτυμολογεῖται δὲ παρὰ τὸ σειράειν ἤτοι λάμπειν, ὥς φασιν οἱ πολλοί. ἄλλως· σείριόν τινες μὲν τὸν ἥλιόν φασι τινὲς δὲ τὸν περὶ τὴν γένυν τοῦ κυνὸς ἀστέρα. Ἀστὴρ μὲν καὶ ἄστρον διαφέρει· ἀστὴρ

μὲν λέγεται ὁ μονοειδὴς, οἷον ὁ Ζεὺς, ὁ κύων, ἡ Ἀφροδίτη, ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον, ὡς ὁ κύων ἄστρον, ταῦρος ἄστρον, καὶ ἕτερα, ἃ καὶ ζώδια παρὰ τοῖς ἀστρονόμοις λέγεται. ἱμείροι· ἐπιθυμείτω. πόνων· κόπων, τῶν ἔργων. ἐράοι· ἐράτω, ἤως ἔστω φιλόπονος.

3.49 ῎Ωδε· οὕτως ποιῶν. εὐάγρης· καὶ καλὸς ἀγρευτὴς, ἀγρευτὴς, ἢ εὐτυχὴς κατὰ τὴν ἄγραν· Ἑρμείᾳ· τῷ εὑρέτῃ τῆς ἁλείας, διὰ τὸ ἁλιευτικὸν εἶναι τὸν θεόν.

3.50 Ἑσπερίη· ἑσπερινὴ, ἡ καθ᾽ ἑσπέραν, καὶ ἡ ἀφ᾽ ἑσπέρας, ἢ καὶ πρὸς τὴν ἑσπέραν. ὀπωρινῇσιν ἐν ὥραις· ἐν ὥραις ταῖς θεριναῖς.

3.51 Καρτίστη· ἰσχυρὰ, καὶ λαμπρά. τελέθει· ὑπάρχει, ἔνι. ἑωσφόρος· ὁ τῆς αὐγῆς, ἑωσφόρος ὅδ᾽ ὁ ἀστὴρ, ὁ φέρων τὴν ἕω καὶ τὴν ἡμέραν, ὁ περὶ αὐγὴν φαινόμενος, ὃν οἱ πολλοὶ αὐγερινὸν λέγουσι, λέγεται δὲ φερωνύμως. εὖτ᾽ ἀνορούσῃ· ἡνίκα ἀνατείλῃ, ἀνορμήσῃ.

3.52 Χείματι· τῷ χειμωνικῷ καιρῷ. ἠελίοιο· Ἴωνες τὰς λέξεις, αἵτινες ἄρχονται ἀπὸ τῶν φωνηέντων καὶ δασύνονται, προστιθέασι καὶ ἔμπροσθεν τοῦ πρώτου φωνήεντος ἄλλο φωνῆεν καὶ ψιλοῦσι τὸ πρῶτον φωνῆεν τὸ δασυνόμενον πρώην καὶ τιθέασι τὸ τοῦ πρώτου φωνήεντος τόνον εἰς τὸ φωνῆεν ὅπερ προσέθηκαν οἷον Ἅδης Ἀΐδης, ἕλκηλος ὁ ἥσυχος ἐΰκηλος ἐν διαλύσει, ἐν μίξει δ᾽ εὔκηλος· οὕτως οὖν καὶ τοῦ ἥλιος ἠέλιος, ἀλλ᾽ ὡς οἱ Ἀττικοὶ δὲ προστιθέασιν ὀπίσω τῶν φωνηέντων φωνήεντα καὶ ἀφαιροῦσι καὶ τοῦ πρώτου φωνήεντος τὸ πνεῦμα· ἐν αὐτῷ ὥραο. βολαῖς· ἀκτῖσι· δίκην γὰρ βολίδων χέονται· βολὴ ἐπὶ ἀκτίνων ἡλιακῶν, ὡς ἐνταῦθα, βουλὴ ἐπὶ ἁλείας, λέγεται δὲ καὶ ἀπὸ σιδήρου σπινθήρ. κιδναμένῃσι· σκορπιζομέναις, ἀνατελλούσαις, ἁπλωμέναις.

3.53 Στέλλεσθαι· ἀπέρχεσθαι, ἐξέρχεσθαι εἰς θήραν, πορεύεσθαι εἰς ἄγραν, καὶ ἀπέρχεσθαι εἰς θήραν, στέλλου, πλέε. πᾶν δ᾽ ἦμαρ· δι᾽ ὅλην ἡμέραν, ὁλόκληρον, δι᾽ ὅλης ἡμέρας. τηλεθόωντι· θαλερῷ, μακρὰν θάλλοντι.

3.54 Ὀφέλλεται· ἡ ἄγρα, αὔξεται, συμβάλλεται εἰς ἄγραν, συντελεῖ, συμβάλλεται, αὔξεται ἡ θήρα, ὁ ἁλιεύς. ἦμος· τότε, ἡνίκα.

3.55 Ἐφέστιοι· συνήθεις εἰσίν.

3.56 Ἕλκονται· ὅρα, τὸ ἕλκονται ἐπὶ τῶν ἀπόδων ἰχθύων. τεκέων· ὀδύνης, γεννήσεων, γεννημάτων, ἢ τῆς ὠδῖνος, τοῦ γόνου, τοῦ τόκου. δίψῃ· ἐπιθυμίᾳ. ἀφροδίτης· συνουσίας.

3.57 Παπταινέμεν· τήρει, βλέπε, πάπταινε, ἐπιτήρει, καὶ ἐπιτηρεῖν δεῖ τὸν ἁλιέα· ὅς· ὁ ἄνεμος. ἄησιν· πνέοι, ἀναπνέῃ.

3.58 Ἤπιος· πρᾳΰς, ἥσυχος, εὐδιόων· εὐδιεινὸς, εὐκραής. μαλακὴν ἅλα· τὴν μὴ τραχεῖαν τῇ ἀνωφερείᾳ τῶν κυμάτων· μαλακὴν εἶπε τὴν θάλασσαν, ὅτι οὐ δύναταί τις ἐπάνω περιπατεῖν αὐτῆς, ἢ δέξασθαί τι τῶν βαρυτόνων, ὡς ἡ ξηρά. μαλακήν· ἐκ μεταφορᾶς τοῦ χαύνου καὶ μαλακοῦ· ὕδωρ γάρ ἐστι λεῖον καὶ διαρρέον. κοῦφα· ἡσύχως, ἐλαφρῶς. κυλίνδων· συστρέφων.

3.59 Λάβρους· σφοδροὺς, ὁρμητικούς. τρομέουσι· φοβοῦνται. ἐχθαίρουσι· μισοῦσιν.

3.60 Ὑπὲρ ἅλα· ἐπάνω τῆς ἁλὸς, ἤως ἐκτὸς καὶ ὑπεράνω τοῦ βάθους. δινεύεσθαι· ὁδεύειν, συστρέφεσθαι.

3.61 Περιδέξιος· ἐπιτηδεία, λαμπρά. ἵσταται· γίνεται.

3.62 Πνοιῇσι· τῶν βιαίων ἀνέμων. ῥοθίοισιν· ῥεύμασιν.

3.63 Πλῶτες· ἰχθύες. θύνουσιν· ὁρμῶσι, τοῖς ἰχθύσιν. ἐπεί σφισιν· οὕτω γὰρ αὐτοῖς ἡ ὁδὸς εὐκολωτέρα. κέλευθος· λείπει γίνεται.

3.64 Στείχουσιν· πορευομένοις. ἠιόνας· αἰγιαλοὺς, δηλονότι τὰ πελάγη. ὑπ᾽ ἀνάγκης· τῶν ἀνέμων.

3.65 Ἐξόπισθεν· εἰς τὰ ὀπίσω. ῥιπῇσιν· τοῦ ἀνέμου, ὁρμαῖς τῶν ἀνέμων καὶ τῶν κυμάτων. μογέουσιν· κακοπαθοῦσι, κυρίως δὲ τὸ μογεῖν ἐπὶ τῶν ὠδίνων τῆς γυναικός.

3.66 Ἀλλ᾽ ἁλιεύς· δεῖ τὸν ἁλιέα ἑπόμενον τῷ φυσήματι τοῦ ἀνέμου ῥίπτειν τὸ δίκτυον ἄντικρυ τῶν ἰχθύων, ἵν᾽ ἐμπέσωσιν. στέλλοιτο· στελλέτω, εὐτρεπιζέτω, ἀντὶ τοῦ πλεέτω, πεμπέτω, ἢ εὐτρεπίζοιτο. λίνον· δίκτυον. πνοιῇσι· τοῖς εὐκραέσιν ἀνέμοις. πετάσας· ῥίψας ἄντικρυ τῶν ἰχθύων.

3.67 Οὔριον· κατευθῆς ἐπιτυχὲς, ἔφορα· οὔριος ὁ ἐπιτήδειος ἄνεμος, καὶ οὔριον πνεῦμα, κυρίως ὁ ἀπὸ τῆς οὐρᾶς τῶν νηῶν. νότος ὑγρός· φύσει γὰρ νότος ὑγρός. ὑγρός· ὑγρότητος ποιητικὸς, ὡς προσγειότερος, ἢ ὡς αἴτιος ὑετῶν· νότου γὰρ πνέοντος, μάλιστα βροχαὶ καταφέρονται.

3.68 Ἐς νοτίην δὲ θάλασσαν· τίθει δῆτα τὸ δίκτυον, πεμπέτω τὸ δίκτυον εἰς νότιον μέρος. ἐπειγομένου· γράφεται ἐγειρομένου. ἐγειρομένου· πνέοντος.

3.69 Εὔρου· ἀνατολικοῦ ἀνέμου πνέοντος. ποτὶ ζεφύροιο κέλευθα· πρὸς ζέφυρον ἀπὸ δύσεως πνέοντα.

3.70 Πρὸς δ’ εὖρον· ὁ ζέφυρος πνέων ἄγοι κατέναντι εὔρου, καὶ οὕτω βάλλε τὸ δίκτυον, καὶ ἐπιτυγχάνει, ἢ ἐξ ἐναντίας τοῦ εὔρου ὁ ζέφυρος. ζέφυρος· ὅτε πνέει δέ· ὅταν πνέῃ ὁ ζέφυρος, ῥιπτέτω τὸ δίκτυον πρὸς τὸ ἀνατολικώτερον μέρος· πνέων λείπει. φορέοι· φέροι σκάφος· τῶν ἁλιέων. ἐσμοί· πλήθη.

3.71 Ἄσπετοι· πολλοί. ἀντήσουσιν· συνέλθωσιν. εὔβολος· εὔκολος, εὔστοχος, ἐπιτυχής. ἔσσεται· γράφεται ἵσταται· γίνεται.

3.72 Τέτραχα· τετραχῶς. νόμον· τάξιν, ἔθος. ἐφράσαντο· ἐμηχανήσαντο.

3.73 Ἰχθυβόλοι· ἁλιεῖς. τοὶ μέν· τινὲς, τῶν ἁλιέων. ἐπ’ ἀγκίστροισι γάνυνται· ἢ δι’ ἀγκίστρων ἁλιεύουσιν. γάνυνται· χαίρουσιν.

3.74 Τῶν δέ· ὑποδιαίρεσις, ἀπὸ τούτων, τῶν χαιρόντων τοῖς ἀγκίστροις. δονάκεσσιν· καλάμοις. ἀναψάμενοι· ἀναδήσαντες, ἀνακρεμάσαντες.

3.75 Ὁρμιὴν ἵππειον· ἀπὸ τριχῶν ἱππείων γὰρ πλέκεται. ἀγρώσσουσιν· ἁλιεύουσιν, ἀγρεύουσι, θηρεύουσιν.

3.76 Αὕτως· οὕτως, ἁπλῶς. θώμιγγα· ὁρμιήν. λινόστροφον· ἐκ λίνου πλακεῖσαν σπάρτην, τὴν σπάρτην τὴν ἀπὸ λίνου ἐστραμμένου λέγει.

3.77 Δησάμενοι· ἀναδήσαντες. πέμπουσιν· κατὰ θαλάσσης. καθέτοισι· μολύβδοις· κάθετός ἐστιν ἄγκιστρον μέγα, εἰς βάθος καθιέμενον, ἐκ τοῦ καθίημι τὸ χαλῶ, ἄλλοι δὲ καθέτην καλοῦσι τὴν ἐν τῇ ὁρμιᾷ μόλυβδον.

καθέτης ἀπὸ τοῦ καθιέναι εἰς βυθὸν, ἐστὶ δ’ αὕτη μετ’ ἀγκίστρου εἰς βάθος καθιεμένη, ἄλλοι δὲ καθέτην καλοῦσι τὸν ἐν τῇ ὁρμιᾷ μόλυβδον.

3.78 Πολυαγκίστροισιν· ἄγκιστρα πολλὰ ἐχούσαις.

3.79 Δίκτυα· ἀπὸ τοῦ δίκω τὸ τιτρώσκω. δ’ αὖ· δὴ πάλιν. μέλει· διὰ φροντίδος ὑπάρχει. ἐντύνεσθαι· εὐτρεπίζειν, κατασκευάζειν, ὁπλίζειν εἰς ἄγραν.

3.80 Τῶν· ἀπὸ τῶν τοιούτων δικτύων. ἀμφίβληστρα· ἀπὸ τοῦ ἀμφοτέρωθεν βάλλειν τοὺς ἰχθύας. γρῖφοι· οἱ γρίπτοι λεγόμενοι.

3.81 Γαγγάμαι· γαγγάμη λίνος παχὺς δικτυωτὸς, σιδήρῳ κύκλῳ περιεχόμενος. γάγγαμα· γαγγάμη ἐστὶ λῖνος παχὺς, ὡς Διογένης, καὶ γαγγαμευτὴς ὁ τῇ γαγγάμῳ ἐργαζόμενος. ὑποχαί· κυρίως δίκτυα περιφράττοντα καὶ ἐπέχοντα τόπους, ἐν αἷς καὶ τὸ θύνον, σκοπεῖον λεγόμενον. περιηγέες· κυκλοτερεῖς. σαγῆναι· δίκτυα.

3.83 Πέζας· ἔχουσι, φέρουσιν· λείπει, εἶδος καὶ τοῦτο δικτύου μικροῦ. σφαιρῶνας· δίκτυα στρογγύλα· σφαιρῶναι τὰ σφαιροειδῆ δίκτυα, δίκτυον δὲ λέγεται ἀπὸ τοῦ δίκω τὸ τιτρώσκω καὶ τοῦ ἰχθὺς, τὸ τιτρῶσκον τοὺς ἰχθύας καὶ βάλλον. σκολιόν· καμπύλον, στρεβλόν. πάναγρον· δίκτυον.

3.84 Μυρία· πολύ· μέχρι τούτου περὶ δικτύων. αἰόλα· ποικίλα· τὰ μὲν γὰρ ἄλλην ἔχουσιν ἰδέαν, ἕτερα δὲ πάλιν ἄλλην. δολορραφέων· τῶν ἐπὶ δόλοις ἐρραμμένων. κόλπων· δικτύων.

3.85 Κύρτοισιν· σκεύεσιν ἁλιευτικοῖς, ζωγρίοις, κλωβίοις.

3.86 Κύρτοις· ἐπανάληψις. κνώσσοντας· κοιμωμένους, καθεύδοντας.

3.87 Εὐκήλους· ἡσύχους, ἡσύχως καθημένους. βαιῷ δὲ πόνῳ· μικρῷ δὲ κόπῳ· γνώμη. ὀπηδεῖ· ἀκολουθεῖ.

3.88 Οὐτάζουσιν· κρατοῦσιν, ἁρπάζουσιν. τανυγλώχινι· τῇ ὀξυγωνίῳ καὶ μακρὰς ἀκίδας ἐχούσῃ ἀπὸ τοῦ τανύω καὶ τοῦ γλωχὶς ἡ ἐξοχὴ, μακροτάτῃ, τῇ ἐχούσῃ μακρὰν γλῶσσαν.

3.90 Τῶν· ὧν, τούτων, ἤως τῶν δικτύων καὶ τῶν ἀγκίστρων. πάντων· μηχανημάτων. μέτρον· σταθμόν. κόσμον· τάξιν, καλλωπισμόν· περὶ

εἴδους ἑκάστου τῶν πάντων τούτων λεγέτωσαν οἱ ἐμπείρως ἔχοντες αὐτῶν τῶν τεσσάρων τῆς ἁλιευτικῆς ὀργάνων.

3.91 Ἀτρεκέως· ἀληθῶς. ἴσασιν· ἐπίστανται, γινώσκουσιν. τεκταίνονται· ἐργάζονται, κατασκευάζουσιν.

3.92 Ἄρα· καὶ ἀληθῶς. μοῦνον· αἰολικὸν, μόνοις. ἐπ᾽ ἀλλήλοισι· κατ᾽ ἀλλήλων. νόημα· μηχάνημα.

3.93 Πυκνόν· συνετόν. ἔην· ἐστίν. μῆτις· βουλή. ἐπίκλοπος· δολία, δολερά.

3.94 Ἐξαπάτησαν· ἐπλάνησαν. ἐπίφρονας· φρονίμους, συνετούς.

3.95 Λαγόνας· κόλπους. πανάγρων· δικτύων.

3.96 Ἤδη· ἀπαρτί. ἐνισχόμενοι· ἐνεχόμενοι, κρατούμενοι. παρέδραμον· ἠπάτησαν, ἔφυγον, παρέδραμον δ᾽ ἐνέκυρσαν. φρένας· τὴν γνῶσιν.

3.97 Βουλῇ· φρονήσει, προμηθείᾳ, μηχανῇ, δόλῳ. ἄχος· λύπη. γένοντο· ἀναύξητον, ἰωνικόν.

3.98 Κεστρεύς· ὅπως ὁ κεστρεὺς κρατηθεὶς ἐκ τοῦ δικτύου ἀποφεύγει, οἶμαι δ᾽ ἐκ τῶν εἰρημένων, ὅτι κεστρέα τὸν μέγαν γόμφον λέγει· τὰ γὰρ ἐπιτηδεύματα ταῦτα τοῦ μεγάλου εἰσίν. ἀγκοίνῃσι· ἀγκάλαις, κόλποις.

3.99 Περίδρομον· κυκλοτερῆ, σκολιὸν, τὸν περιέχοντα αὐτόν. ἠγνοίησεν· ἠγνόησεν· οἶδε γάρ που δικτύου τὸ διαιρόμενον σχοινίον.

3.100 Ὕψι· εἰς τὸ ὕψος. λελιημένος· ἐπιθυμῶν· χαριεντισμὸς τὸ σχῆμα· πρὸ γὰρ τούτου ἐλεύθερος ὢν οὐκ ἐπιθυμεῖ τῆς ἐπιφανείας τῆς ἁλὸς, μετὰ δὲ τὸ κρατηθῆναι ἐπιθυμεῖ τοῦ ἄνω ὕδατος, μηχανώμενος ἀποφυγὴν διὰ τοῦ ἅλματος εὑρεῖν. ὕδατος ἄκρου· ἕως τῆς ἐπιφανείας.

3.101 Ὅσσον σθένος· ἐστίν.

3.102 Ὁρμῆσαι· εἰς τό. ἐμάτησε· ἥμαρτεν, ἀπέτυχε, καὶ ἀπέπεσεν. ἐμάτησεν· ἀντὶ τοῦ ἠστόχησεν, ἢ μάτην ἐπεχείρησε ματαιοπραγήσας· οὐκ ἐμάτησεν οὖν, οὐχ ἥμαρτεν, οὐκ εἰς μάτην ἐπήδησεν, οὐκ ἀπέτυχεν, οὐ ματαία γέγονεν

ἡ αὐτοῦ βουλὴ, ἀλλ᾽ ἐπέτυχεν ὡς ἐπὶ τὸ πολὺ, ἐματαιοπράγησεν, ἤως οὐκ ἀπέτυχεν, οὐδ᾽ εἰς μάτην ἐπήδησεν.

3.103 Ῥιπῇσι· ὁρμαῖς. ὕστατα· ἔσχατα, ὑπὲρ τὰ τελευταῖα. πείσματα· σχοινία. φελλῶν· τῶν δεικνύντων ποῦ εἰσι τὰ λίνα.

3.104 Ὑπερᾶλτο· ἐπήδησεν, ὑπερεπήδησεν. ἐξήλυξε μόροιο· ἐξέφυγε θάνατον.

3.105 Ὅγ᾽· ὁ κεστρεύς. ἀνορμηθείς· ἄνω γενόμενος. πρῶτον στόλον· πρώτην ὁρμὴν, πρῶτον πήδημα, τὴν πρώτην ὁρμὴν τοῦ πηδήματος· εἰ δὲ πηδήσει πρῶτον πήδημα, καὶ οὐκ ἐξέλθοι, ἄλλον οὐ πηδᾷ. αὖτις ὀλισθῇ· ἐμπέσῃ πάλιν.

3.106 Βρόχον· τὸ δίκτυον. ἀνορούει· ἀνορμᾷ, ἄνω πηδᾷ.

3.107 Ἀχνύμενος· λυπούμενος· ἀπὸ τοῦ χῶ τὸ χωρῶ χώσα, καὶ μετὰ τοῦ στερητικοῦ α ἄχος ὁ μὴ χωρούμενος διὰ τὴν λύπην, γίνεται δ᾽ ἄχω ἀχύω, καὶ πλεονασμῷ τοῦ ν ἀχνύω καὶ ἄχνυμι ἀχνύμενος καὶ ἄχνυται. πείρῃ· δοκιμῇ. μαθών· τὸ ἀδύνατον. ἀποπαύεται· ἀφίσταται. ὁρμῆς· κινήσεως.

3.108 Ὡς δ᾽ ὅτε· παραβολὴ, παράδειγμα. νούσῳ· ἰωνικόν. πολυκηδέι· πολυθλίβῳ, πολυφροντίστῳ, πολυμέρῃ. δηρόν· ἐπὶ πολύ. ἀλύων· λυπούμενος, ἀδημονῶν.

3.109 Λοίσθιον· ἔσχατον, τὸν θάνατον· παρὰ τὸ ὄλισθος καθ᾽ ὑπερβιβασμὸν τοῦ λ λοῖσθος καὶ λοίσθιος, οἷον ἐξολισθήσας καὶ ἐμποδισθείς· ἢ παρὰ τὸ λείπω λοῖστος καὶ λοῖσθος καὶ λοίσθιος. ὁρώμενος· ὁρῶν, βλέπων. ἐγγύθι· ὑπάρχων. πότμου· θανάτου.

3.110 Ἰμείρων· ἐπιθυμῶν. ἱέμενος· ἐπιθυμῶν, καὶ προθυμίαν ἔχων. βιότοιο· τῆς ζωῆς.

3.111 Πάντα· κατὰ πάντα. ἐφέσπεται· ἀκολουθεῖ, ὑπακούει, ἐπακολουθεῖ. κέλονται· προστάσσουσι, προστάξωσιν.

3.112 Ῥέζειν· πράττειν. ῥέζων· πράττων· παρὰ τὸ ἔρδω τὸ θύω ὑπερβιβασμῷ ῥέδω, τροπῇ δωρικῇ ῥέζω, ὁ μέλλων ῥέξω, σημαίνει δὲ τρία, τὸ πράττω,

ὡς τό
μέγ᾽ ἐν Ἄργει ἔρεξεν·
τὸ θύω
ἄλλος ἄλλῳ ἔρεζε θεῶν.
καὶ τὸ τῇ χειρὶ καταψῶ, ὡς τό
χειρὶ τέ μιν κατέρεξεν.
κῆρες· αἱ μοῖραι τοῦ θανάτου, θανατηφόροι μοῖραι ἐπικρατέουσιν· νικῶσι, καταδυναστεύουσι, κατακυριεύουσιν. ἄφυκτοι· ἃς οὐ δύναταί τις φυγεῖν, οἱ μὴ δυνάμενοι φυγεῖν.

3.113 Ἄιδος· θανάτου, Ἅιδου. βιάζεται· γράφεται μέλει βίου. τανυσθείς· ἐξαπλωθείς.

3.114 Ἐπιτρέψας· καὶ δοὺς, ἐνδούς. κεκαφηότα· ἐκπεπνευκότα, κεκοπιακότα, ἠσθενηκότα ἀπὸ τοῦ κάπος τὸ πνεῦμα καὶ τὸ ἄω τὸ πνέω· κάφος γὰρ τὸ πνεῦμα. κάπου ἡ κεφαλὴ παρὰ Ῥωμαίοις, καὶ κάπος τὸ πνεῦμα, καὶ γίνεται ἀπὸ τοῦ καφάω καφῶ, μέλλων καφήσω, κεκάφηκα, ἡ μετοχὴ ὁ κεκαφηκὼς, καὶ ἀποβολῇ τοῦ κ κεκαφηὼς κεκαφηότος. κεκαφηότα καθίσταται οὕτως ἔστι θέμα καπῶ τὸ πνέω, ἔνθεν καπνὸς ἡ πυρώδης πνοὴ, καὶ κῆπος ὁ περιπνεόμενος τόπος, καὶ κάπη ἡ φάτνη τῶν ἀλόγων, ἡ διὰ τῶν χρεμετισμῶν τῶν ἵππων ἀναπνεομένη· καπῶ τοίνυν τὸ θέμα, ἤως τὸ ῥῆμα, καπήσω, κεκάπηκα, κεκαπηκὼς ἡ μετοχὴ, καὶ κατ᾽ ἰωνικὸν ἔθος κεκαπηότα, καὶ κεχαρηότα, καὶ τροπῇ τοῦ π εἰς φ κεκαφηότα, ὥσπερ ἐκ τοῦ σπάραγγος σφάραγγος, ἐκ δὲ τοῦ καπῶ παραγωγὸν τὸ καπύω, ἐξ οὗ κεκαφηότα γυῖα.

3.115 Ἐδάη· ἔμαθεν, ἔγνω. τέλος· ἢ μόρον. μόρον· θάνατον. ἱκάνει· λαμβάνει, καταλαμβάνει, ἵκανε καὶ κατέλαβεν, ἀττικισμός.

3.116 Προπεσών· πεσών. μίμνων· περιμίμνων, περιμένων, μίμνων τὸν ἀγρεύοντα μόρον, καλεῖ κατ᾽ Ἀττικούς. μόρον ἀγρευτῆρος· τὸν ἀπ᾽ ἀγρευτῆρος.

3.117 Σφύραιναι· ζαργάναι. ἐνιπλήξωσι· ἐμπέωσι, πελάσωσιν.

3.118 Διζόμεναι· γράφεται δίζονται. δίζονται· ψηλαφῶσιν. πόρον· ὀπήν. βρόχον εὐρύν· ὀπὴν εὑρεῖν. ἐν ἕρκει· τῷ περιφράγματι, δικτύῳ. δινεύουσαι· συστρεφόμεναι, κινούμεναι, ἀνερευνῶσαι, ψηλαφῶσαι, κατὰ συνήθειαν ὄφεων, οἵτινες δι᾽ ὀπῶν εἰσδύνουσι τοὺς φωλεούς· λεπταὶ γὰρ καὶ αὗται οὖσαι διὰ τῶν ὀπῶν ἐξέρχονται. δινεύουσι· γράφεται δινεύονται.

3.119 Διαΐγδην· ὁρμητικῶς. νόμον· κατὰ, κατὰ συνήθειαν, κατὰ τὸν τῶν ὀφίων νόμον, ὥσπερ οἱ ὄφεις διὰ τῶν ὀπῶν εἰσέρχονται τοὺς φωλεούς.

3.120 Ὀλισθηροῖσι· γλίσχροις, ἐν. διεξέπεσον· ἐξῆλθον.

3.121 Λάβραξ· λάβραξ ἁλοὺς ἐν τοῖς δικτύοις πόρρωθεν ὀλίγον τοῦ αἰγιαλοῦ ὀρύττει, ὅπως ἐκφύγῃ τοῦ βρόχου· ὡσαύτως καὶ ὄρκυνοι. διὰ ψαμάθοιο· ἐπὶ τῆς. πτερύγεσσι· διὰ τῶν πτερύγων. Τί διαφέρει πτέρυξ καὶ πτερύξ· πτερὺξ μὲν λέγεται τὸ ἄκρον τοῦ πτέρυγος, πτέρυξ δ᾽ ἡ ὅλη πτέρυξις. λαχήνας· ὀρύξας, σκάψας

3.122 Βόθρον· λάκκον. δέμας· σῶμα. εὐνήν· κοίτην.

3.123 Ἐκλίνθη· ἔπεσεν. τοί· οἱ ἁλιεῖς, ἐστὶ δὲ δωρικόν. ἠιόνας· ἢ ἀπὸ τοῦ ἄω τὸ πνέω, οἱ τοῖς ἀνέμοις καταπνεόμενοι, ἢ ἀπὸ τοῦ ἀΐω τὸ ἀκούω· κωλύει γὰρ καὶ ἐπιπροσθεῖ ὁ ἀπὸ τῶν κυμάτων ἦχος καὶ τῶν ἀνέμων ἀκούεσθαι τὴν τῶν λόγων φωνήν. κατάγουσι· καταφέρουσι σύροντες, καθέλκουσιν.

3.124 Ἰλύι· τῇ ἄμμῳ. κείμενος· ἀμετακίνητος. αὕτως· οὕτως, ὡς εἴπομεν.

3.125 Ἀσπασίως· περιχαρῶς. ἤλυξε· ἔφυγεν. ἕρκιον ὄλεθρον· τοῦ λίνου τὸ περίφραγμα· γράφεται ἄρκυν ὀλέθρου. ἄρκυν· ἕρκος, βρόχον, δίκτυον.

3.126 Τεχνάζει· μηχανᾶται, ποιεῖ.

3.127 Φράσσηται· νοήσῃ. προπεσών· ἐμπεσὼν, πρὸς τό. ὁ δέ· οὗτος, ὁ μορμύλος, οἱ μὲν ἀσπαλιεῖς. δύεται· εἰσέρχεται, ἔχει τὴν ἀναφοράν.

3.128 Τυπείς· κρουσθεὶς, βληθεὶς, ἀντὶ τοῦ κρατηθείς. εὐκαμπέος· καμπύλου. αἰχμῇ· σιδήρῳ.

3.129 ῾Υψόσ᾽· εἰς ὕψος. ἀναθρώσκων· ἀναπηδῶν. ἀζηχές· ἀμετάκλιτον, διόλου, ἀδιασπάστως, διηνεκῶς, συνεχῶς, γενναίως, σφοδρῶς, πρὸς τρία ἀζηχὲς

ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ ἴζω τὸ κάθημαι, ὁ μὴ καθήμενος καὶ ἀργῶν, ἀλλὰ διανιστάμενος καὶ σπεύδων, ἢ τὸ διηνεκὲς καὶ συνεχὲς, καὶ τροπῇ τοῦ δ εἰς ζ καὶ τοῦ ε εἰς η ἐκβληθέντος τοῦ ι, οἱονεὶ τὸ μὴ ἔχον διέχειαν ἢ διάλειψιν καὶ διάλειμμα. Ἀζηχὲς διηνεκὲς, ἀδιεχὲς, καὶ τροπῇ τοῦ δ εἰς ζ καὶ τοῦ ε εἰς η, ἐκβληθέντος καὶ τοῦ ι γίνεται ἀζηχὲς, ἤως συνεχὲς καὶ μὴ ἔχον τι διέχειάν τινα καὶ διάλειμμα· ἰστέον ὅτι ἐναντία ἐστὶ τὸ συνεχὲς καὶ τὸ διεχὲς, ὅτι τὸ ἀδιεχὲς ἶσόν ἐστι τῷ συνεχεῖ, ὡς ἀναιρετικὸν τοῦ διεχοῦς, ὅθεν ἀδιχὲς λέγεται τὸ συνεχές. ἐρείδει· ἐμβάλλει, ἀντὶ τοῦ γενναίως ἐπερείδει τὴν κεφαλὴν τῷ ἀγκίστρῳ πρὸς τὸ εὐρυνθῆναι τὴν πληγὴν καὶ ἐξελθεῖν τὸ ἄγκιστρον· ὡσαύτως καὶ οἱ ὄρκυνοι.

3.130 Βεβιημένος· βιαζόμενος, ἐπιθυμῶν. ὄφρα· ὅπως. ἕλκος· πληγὴ, τὸ τραῦμα τὸ ἀπὸ τοῦ ἀγκίστρου γινόμενον· σημείωσαι γὰρ ὅτι οὐ μόνον τὸ ὑγρὸν πῦον λέγεται ἕλκος, ἀλλὰ καὶ τὸ τραῦμα αὐτὸ παρὰ τὸ ἕλκειν ἔνθεν καὶ ἔνθεν.

3.131 Εὐρύτερον· ἡ ὀπὴ καὶ τὸ τραῦμα.

3.132 Μεγακήτεες· οἱ μεγάλοι καὶ κητώδεις. ἐφράσσαντο· ἐμηχανήσαντο.

3.133 Ἁρπάξωσι· λάβωσι, δάκωσιν. γένυν· στόμα. γναμπτοῖο· ἐπικαμποῦς. σιδήρου· ἀγκίστρου. γναπτοῖο δόλοιο· τὸ ἄγκιστρον.

3.134 Ῥίμφα· εὐθύς. τιταινόμενοι· συρόμενοι, ἐξαπλούμενοι. νεάτην· ἐσχάτην· γράφεται καὶ πυμάτην. βύσσαν· βυθόν. ἴενται· πορεύονται, ἔρχονται.

3.135 Βιαζόμενοι· σύροντες, βιάζοντες. θηρητῆρος· ἁλιέως, ἀγρευτῆρος. ἀνύσωσιν· φθάσωσι, καταντήσωσιν, ἔλθωσιν.

3.136 Πέδον· γῆν. κάρη· τὴν κεφαλήν. θείνοντες· κρούοντες. οὖδας· ἔδαφος.

3.137 Ὠτειλήν· τὸ τραῦμα. ἔρρηξαν· ἔσχισαν, ἐπλάτυναν. ἀποπτύουσι· ἀπορρίπτουσιν, ἐκβάλλουσιν, ἀποδιώκουσιν. ἀκωκήν· σίδηρον, τὸ ἄγκιστρον, τὸ βέλος, τὸ ὀξὺ τοῦ ἀγκίστρου· παρὰ τὸ ἀκὴ γίνεται κατ' ἀναδιπλασιασμὸν ἀκωκὴ ὡς ἔδω ἐδωδή· τὰ διὰ τοῦ ωκη ὑπὲρ μίαν συλλαβὴν ὀξύνονται.

3.138 Καθέτοισι· ἀγκίστροις, μολύβδοις, μεγάλοις ἀγκίστροις, ταῖς ὁρμιαῖς. πελώριοι· μεγάλοι. ἀμφιχάνωσιν· κρατηθῶσι, χανόντες δέξωνται.

3.139 Οἷα· ὁποῖά εἰσιν εἴδη ἰχθύων. πέλει· ὑπάρχει· μεσεμβόλημα.

3.141 Πλατύ· μέγα. βαλόντες· ῥίψαντες.

3.142 Ἀθρόοι· ὁμοῦ. μόγον· κακοπάθειαν· μόγος κυρίως ἐπὶ τῆς γυναικείας γέννας· χαλεπὴ γὰρ καὶ βαρεῖα λίαν ἡ κακοπάθεια τῆς γυναικὸς, ὅταν τίκτῃ. ἔθηκαν· ἐποίησαν.

3.143 Ἐξώλισθον ἀπ᾽ ἀγκίστροιο· ἐξέπεσον ἐκ τοῦ ἀγκίστρου. λυθέντες· γράφεται πεσόντες.

3.144 Λαιψηραί· ταχεῖαι. ἀλώπεκες· ἀλώπηξ ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶ· ἀπατηλὸν γὰρ τὸ ζῶον. ἔχωνται· κρατῶνται, φέρωνται, κρατηθῶσιν.

3.145 Ἄνω· πρὸς τὴν ὁρμιάν. φθάνουσι· γράφεται σπεύδουσιν. ὑποφθαδόν· προληπτικῶς, συντόμως, προλαβοῦσαι, προφθάνουσαι. αἶψα· μετ᾽ ἔριδος καὶ κατὰ σπουδήν.

3.146 Διέτμαγον· ἔκοψαν, διέκοψαν.

3.148 Καυλόν· σίδηρον, ἢ περίβολον μολύβδου, μακρὸν σίδηρον, ὁ στενοεπιμήκης μόλιβδος. δολιχώτερον· δολιχὸν ἀντὶ ἁπλοῦ. ἄλγος· εἰς. ἄλγος ὀδόντων· εἰς πόνον τῶν ὀδόντων. ἄρκος ὀδόντων· ὡς ἀμυντήριον, ἀποσόβησιν. ἄλγος· γράφεται ἔρκος.

3.149 Ναί· ἴσως. σφέτερον νόον· κατὰ τὴν ἰδίαν τάξιν τὴν πανουργίαν οὐκ ἀφίησιν. ἀπολείπει· ἐᾷ.

3.150 Πληγῇ ἀνιάζουσα· ἐν τῇ τρώσει τοῦ ἀγκίστρου κατεχομένη, λυπουμένη ὑπὸ τοῦ ἕλκους. τιταινομένη· ἡ νάρκη θλιβομένη, ἀνιωμένη, ἐξαπλουμένη, πληττομένη.

3.151 Προσπτύσεται· προσάπτει, προσεγγίζει, προσάπτει, τὰς λαγόνας ταῖς ὁρμιαῖς ἀναντιᾷ, ἵνα νάρκην τῷ ἁλιεῖ ποιήσῃ, ταῖς ὁρμιαῖς τοὺς λαγόνας προσάπτεται καὶ συντρίβει, καὶ ἀγκαλίζεται.

3.152 Ἱππείης· διὰ, ἢ τῆς ὁρμιᾶς.

3.153 Δεξιτερήν· δεξιὰν χεῖρα, χείραν. ἔσκηψε· ἐνέπεσεν, εἰσῆλθεν. ἄλγος· ἡ νάρκωσις. φερώνυμον ἄλγος· τὴν νάρκωσιν, ἀπὸ τῆς νάρκης τοῦ ἰχθύος λεγόμενον φερωνύμως· τὸ γὰρ ὄνομα αὐτῆς ναρκᾷν δεινῶς τοὺς ἁλιέας ποιεῖ.

3.154 Ἐκ παλάμης· τοῦ ἁλιέως. πέσεν· γράφεται φύγεν. ὅπλα· τὰ ὄργανα.

3.155 Τοίη· τοιαύτη· ἐπιλογικόν. κρύσταλλος· ψυχρότης, περίψυξις καὶ ἀκινησία, ἢ ψύχρωσις καὶ νάρκωσις. ἐνίζηται· ἐγκάθηται, κάθηται.

3.156 Δολοφροσύνῃσιν· ἀπάταις. μέλονται· φροντίδα ἔχουσιν, ὑπόκεινται, στοιχοῦσιν.

3.157 Ἐν μήκωσι· ταῖς κεφαλαῖς· μήκωνας ἐκάλεσε τὰ κύτη καὶ θύλακας τῶν γαστέρων, ἤτοι τὰς κεφαλάς. θορός· ὑγρότης τις, ἰχὼρ, κυρίως τὸ σπέρμα, νῦν καὶ τὴν ὑγρότητα.

3.158 Κυάνεος· μέλας. δνοφερώτερος· σκοτεινότερος, μελανώτερος, μελάντερον. ἀχλύος· σκότους, μελανίας.

3.159 Φάρμακον· εἰς, βοήθημα, πρὸς τὸ σημαινόμενον. ἀπροτίοπτον· ἀθεώρητον, ἀθέατον, ἀνέλπιστον, ἀφανὲς, σκοτεινόν. ἄλκαρ· βοήθημα, βοήθεια ἀποτρεπτικὴ βλάβης.

3.160 Ἐκείνου· τοῦ θοροῦ.

3.161 Ὀρφναίας· διὰ, σκοτεινὰς, μέλαινας· ὀρφνὴ ἡ νὺξ παρὰ τὸ τὴν ὅρασιν φαίνειν ἀντιφραστικῶς, ἢ παρὰ τὸ ἐρέφω τὸ στεγάζω· ὡς στέγος γὰρ ἐπίκειται τοῖς τῶν ἀνθρώπων ὀφθαλμοῖς. ὀρφνὴ ἡ νὺξ παρὰ τὸ μὴ φαίνειν τὴν ὅρασιν, ἢ παρὰ τὸ ἐρέφω τὸ στεγάζω· ὡς στέγος γὰρ ἐπίκειται τοῖς ὀφθαλμοῖς τῶν ἀνθρώπων, ἀφ’ ἧς ἔλαβεν ἀρσίως τὴν μέλαιναν τῆς σηπίας ῥανίδα. ῥαθάμιγγας· πυκνότητας, ῥανίδας. ἀνήμεσαν· ἐξέρασαν, ἔχυσαν, ἀνέδωκαν.

3.162 Πέριξ· κύκλῳ. ἐμίηνε· ἔβαψεν. ἠμάλδυνε· ἐσκότισεν, ἠφάνισεν, ἐτυμολογεῖται δὲ παρὰ τὸ μαίρω τὸ λάμπω, μαρῶ, καὶ μετὰ τοῦ

στερητικοῦ α ἀμαρῶ τὸ ἀμαυρῶ καὶ ἀφανίζω, καὶ τροπῇ τοῦ ρ εἰς λ ἀμαλῶ, καὶ ἀμαλδῶ πλεονασμῷ τοῦ δ· ἢ ἀπὸ τοῦ ὁμαλὸς ὁμαλύνω, ὡς κακὸς κακύνω, καὶ τροπῇ τοῦ ο εἰς α καὶ πλεονασμῷ τοῦ δ ἀμαλδύνω. μαίρω μέλλων μαρῶ τὸ λάμπω, ὅθεν ἀμαρῶ τὸ ἀφανίζω, καὶ τροπῇ τοῦ ρ εἰς λ καὶ πλεονασμῷ τοῦ δ ἀμαλδῶ καὶ ἀμαλδύνω· ἢ οὕτως· ὁμαλὸς ὁμαλύνω καὶ ἀμαλδύνω ἐνθέσει τοῦ δ τὸ στενοποιῶ καὶ ἀνατρέπω.

3.163 Ἰχὼρ ἀχλυόεις· ὁ σκοτεινοειδὴς μολυσμός. ἀχλυόεις· σκοτεινός. ἀνὰ δ' ἔτραπε· ἀνέτρεψε δὲ, περιεκάλυψεν. ὀπωπήν· θέαν, θεωρίαν.

3.164 Αἰθαλόεντος· σκοτεινοῦ. ἄφαρ· εὐθέως, ταχέως. πόροιο· θαλάσσης.

3.165 Φῶτα· ἄνδρα. εἴποθι· τύχῃ, ἐάν που ᾖ, ἐάν που. φέρτερον· ἰσχυρότερον.

3.166 Τεχνάζουσι· μηχανῶνται. ἠερόφοιτα· ἀέρι πετόμενα· τὰς τευθίδας φησὶν ἠερόφοιτα γένεθλα, ὡς ἐν τῷ ἀέρι φοιτῶντα· πέτανται γὰρ καὶ διὰ τοῦ ἀέρος φέρονται, ὡς ὑπόπτερα, τευθίδες δ' εἰσὶ τὰ κοινῶς λεγόμενα καλαμάρια.

3.167 Ὑπερευθής· ὑπόπυρρος, κόκκινος, ὑπέρυθρος· ἔρευθος γὰρ τὸ χρῶμα.

3.168 Ἐντρέφεται· ἔγκειται. ἐντύνονται· κατασκευάζουσιν.

3.169 Τοίοις μέν· ἐπίλογος τὸ σχῆμα καὶ ἀποθετικόν.

3.170 Πυκινῇσιν· ποικίλαις. ἐπιφροσύναις· συνέσεσι, μηχαναῖς.

3.171 Ἠλιβάτοισι· τοῖς ὑψηλοῖς καὶ ἀπροσβάτοις.

3.172 Ἐρύουσιν· ἀγρεύουσι, κρατοῦσιν. σφίσιν· τοῖς πελαγίοις. νόημα· μηχάνημα.

3.173 Ποικίλον· πανοῦργον, συνετόν. ἤδη· ποτέ. ἐπέσπασεν· ἔλαβεν αὐτούς. κρομύοισι· κρομμυδίοις.

3.174 Γυμνοῖς· ἄνευ δελέατος. πελαγόστροφον· τὸν εἰς τὰ πελάγη διάγοντα· διαφέρει πελαγόστροφος καὶ πελαγοστρόφος· πελαγόστροφος γὰρ ὁ ἀναστρεφόμενος εἰς τὰ πελάγη, ἐκεῖνος δ' ὁ στρέφων τὰ πελάγη.

3.175 Ἁλιερκέος· πεφραγμένης ἁλὶ, τῆς ὑπὸ θαλάσσης, τῆς ὑπὸ τῆς θαλάσσης κλειομένης, τῆς οὔσης ἕρκος τῇ ἁλὶ, τῆς ὑφ᾽ ἁλὸς πεφραγμένης καὶ περικλειομένης, ἀπὸ τοῦ ἅλς ἁλὸς καὶ τοῦ ἕρκος τὸ περίφραγμα.

3.176 Τοῖσι δ᾽· τούτοις. ὀξύτερος· φρονιμώτερος, ταχύτερος. αὐτῶν· τῶν ἰχθύων τῶν παρ᾽ αἰγιαλῶν.

3.177 Βαιοί· οἱ μικροί· εἴσι γὰρ καὶ καρίδες μεγάλαι. ἐρύονται· ἀγρεύονται, ἑλκύονται.

3.178 Τευθίδος· καλαμαρίου. θυσάνοις· πτεροῖς, πλεκτάναις ἀντὶ δελέατος, πλοκάμοις, κυρίως οἱ κροσσοὶ, ταῖς πλοκαμίσι τῆς τευθίδος· κέχρηνται γὰρ αὐτῆς ἀντὶ δελέατος καὶ κατὰ τῶν μικρῶν ἰχθύων, καὶ ὅσοι τὸ ἀλλήλων περιλείχουσι σῶμα ὡς τροφήν εἰσιν οὗτοι. τευθίδος ἢ θυσάνοις· γράφεται πολυπόδων θυσάνοις. ἀμφιχανόντες· ἀμφιπεσόντες.

3.179 Ὀλίγαισι· μικραῖς. ἅπτοις· προσβάλῃ.

3.180 Ἑλμῖσι· σκώληξιν. ὅττι· ἄλλο. παρείη· παρατύχοι.

3.181 Ἰχθυόεν· ἕλκον ἰχθῦς. βαιούς· μικρούς· ἐνταῦθα τίσιν ἰχθύσιν οἱ μεγάλοι ἀγρεύονται, καὶ ὅσοι τὸ ἀλλήλων σῶμα περιλείχουσι πρὸς τροφήν. εἴσιν οὗτοι· ὁ θύννος ἀγρεύεται κορακίνῳ, λάβραξ καρίδι, φάγροι χάννοις, συνόδοντες βωξὶν, ἴουλοι ἱππούροις, ὀρφοὶ δὲ τρίγλῃ, κιρρίδι πέρκη, χρύσοφρυς μαινίδι, καὶ πολύποδι μύραινα. ἐπὶ μείζονας· κατὰ μειζόνων ἰχθύων. ὁπλίζοιο· ὅπλιζε, τίθει.

3.182 Δείπνοις· βρώμασι, ταῖς τροφαῖς. μαργῶντες· μαινόμενοι, λαιμαργοῦντες. ἐπισπεύδουσιν· ἐπαγωνίζονται. ὄλεθρον· ἢ τὸν ἴδιον, ἢ τῶν ἄλλων.

3.183 Ἦ γάρ· γνώμη. ἦ· ὄντως. σιφλόν· λαίμαργον, ἔμψογον καὶ λαίμαργον, ἐπίψογον, τυφλόν. ὑγρὰ θεόντων· πῶς, ἀδολεσχίᾳ.

3.184 Θύννον· τίς τίνος ἰχθύος ἐπιθυμεῖ; ἄγει· ἀγρεύει. καρίς· ἄγει.

3.185 Πιαλέη· λιπαρὰ, ἢ πιαίνουσα τὸν λάβρακα, πίων. χάννος· γράφεται χάννοιο. δέλετρον· δέλεαρ.

3.186 Συνόδοντι· ἰχθύι ἔχοντι πυκνοὺς ὀδόντας, πυκνοὺς ὀδόντας ἔχοντι· εἶδος γὰρ καὶ ὁ συνόδους ἰχθύος.

3.187 Ἔπεφνεν· ἐφόνευσεν. ἔσπασεν· ἔλαβεν, ἤγουν ἤγρευσεν. κιρρίδα· ἰχθὺς καὶ οὗτος, εἶδος ἰχθύος.

3.188 Μαινίδι· σμαρίδι. ἀνιγραί· λεπταὶ, ἀνιαραὶ, λυπηραὶ καὶ γλίσχραι.

3.189 Μετά· οἷς. ἐπειγόμεναι· σπουδάζουσαι.

3.190 Ὅσοι τε· καὶ ἄλλοι. περίμετρον· μέγα, κυκλοτερὲς, περιττὸν κατὰ μέτρον, μέγα καὶ ὑπὲρ μέτρον.

3.191 Κάλλιχθυς· ὁ ἱερὸς λεγόμενος, ἱερὸς ἰχθύς. ἰαίνεται· εὐφραίνεται.

3.192 Ὄρκυνος· θηρεύεται. ἀνθίῃ· σημείωσαι, ὅτι καὶ ἀνθεὺς καὶ ἀνθὴ λέγεται. ὁπλίζοιο· καὶ δέλεαρ ὅπλιζε.

3.193 Πείροις· σούβλιζε, ἔμβαλε, κρατήσεις ἢ ἐμβαλεῖς.

3.194 Ἄλλῳ δ'· ἐπ' ἄλλῳ δέ. ἀλλοίην γενεήν· ἄλλο γένος ἰχθύος.

3.195 Κρέσσονι χειροτέρην· τῷ ἰσχυροτέρῳ τὴν ἀσθενεστέραν.

3.196 Λίχνος· ἄπληστος· γράφεται ὄλεθρος.

3.197 Ὡς οὐδὲν λιμοῖο· γνώμη, γνωμικὸν, θαυμαστικόν. λιμοῖο· πείνας ἢ κυνωδοῦς ὀρέξεως· λιμὸς ἡ λεγομένη κυνώδης ὄρεξις. βαρείης· λαιμάργου, ἀπλήστου. βαρείης· κακῶν, λαίμαργον καὶ βάρος ἐμποιούσης ζώῳ παντὶ, ἐπίκειμαι τῶν ἀνθρώπων.

3.198 Κρατέει· βασιλεύει. ἀπηνής· χαλεπὴ, ἀγρία.

3.199 Συνέστιος· σύνοικος. δασμῶν· φόρων, πλεονεκτημάτων, μερισμῶν, φόβου, τέλους, μερισμῶν, τῶν καθ' ἑκάστην ἡμέραν διδομένων αὐτῇ τροφῶν.

3.200 Ληθομένη· ἐπιλανθανομένη, ἀγνοοῦσα. παρασφήλασα· ἀπατήσασα, παρατρέψασα, ἀποπλανήσασα. νόοιο· ἀπὸ, τοῦ ἰδίου λογισμοῦ.

3.201 Ἄτην· βλάβην. ἀνέηκε· ἐνέβαλεν. αἴσχεσιν· ταῖς ὕβρεσι, καὶ ἀτιμίαις. ἐγκατέδησε· συνέκλεισεν, ἐδέσμησεν.

3.202 Γαστήρ· γνώμη. ἀνάσσει· βασιλεύει.

3.203 Ἠερίῃς· ταῖς πτηνοῖς. τὸ δὲ πλέον· κατ᾽ ἐξοχήν.

3.204 Μόρος· θάνατος. γαστήρ· ἡ λαίμαργος.

3.205 Ἀνθιέων· ἀνθιῶν ὡς κοχλιῶν, καὶ ἰωνικῶς ἀνθιέων. περίφρονα· συνετήν. πεύθεο· μάνθανε, ἄκουε, μάθε.

3.206 Ἐρικυδέος· τῆς ἄγαν ἐνδόξου. ἐντύνονται· παρασκευάζουσι, κατασκευάζουσιν.

3.207 Ἐνναετῆρες· κάτοικοι. πάτρης· οἱ κάτοικοι τῆς ἐν Κιλικίᾳ ἀκτῆς· Κίλιξ γὰρ τὸ γένος Ὀππιανός· παράκειται δὲ τῇ Κιλικίᾳ ἡ Λυκία, Σαρπηδὼν δὲ Λύκιος, ἀκτὴν Σαρπηδόνος τὴν Λυκίαν φησίν· Λύκιος γὰρ ὁ ὁμηρικὸς Σαρπηδὼν, ὑπέρκειται δὲ τῆς τοιαύτης Λυκίας ἡ Κιλικία, τὸ ἔθνος τοῦ Ὀππιανοῦ, ἔνθα καὶ τέμενος Ἑρμοῦ. ὑπέρ· ὑπεράνω.

3.208 Ναυσίκλυτον· ἔνδοξον ταῖς ναυσὶ, τὸ ἐν νηυσὶ περίφημον, ἢ τὸ φημιζόμενον, καὶ ἐξάκουστον, ἢ εἰς ὃ αἱ νῆες κλύζονται, βρέχονται, ἢ κατὰ πολὺ φέρονται.

3.209 Κωρύκιον· ἱερὸν τοῦ Ἑρμοῦ. ναίουσι· κατοικοῦσιν. ἀμφιρύτην· τὴν ἀμφοτέρωθεν περιρρεομένην. Ἐλεοῦσαν· πόλιν, νῆσόν τινα, ὄνομα νήσου, νῆσος τῆς Κιλικίας.

3.210 Κείνας· τῶν ἀνθιέων. τεκμαίρεται· ζητεῖ, καταστοχάζεται, σημειοῦται, στοχάζεται.

3.211 Ἴδρις· εἰδήμων, ἐπιστήμων. οἴῃσιν ὕπ᾽· ὑφ᾽ αἷς. οἴῃσιν ἔπ᾽· καὶ ἐν οἴῃσι πέτραις. αὐλίζονται· οἰκοῦσιν.

3.212 Ἀντροφυεῖς· σπηλαιώδεις, τοῖς ἔχουσι σπήλαιον. κευθμῶσι· κοιλώμασι, βαθυτάτοις τόποις, λάκκοις. διαρρωγάδας· ἐσχισμένας. θαμέεσσι· ἐν, πυκνοῖς.

3.213 Δουρί· τῇ νηΐ, ἢ κώπῃ, πλοίῳ. ἀναπλώσας· ἀναπλεύσας, ὁ ἁλιεύς. πινάκων· διὰ τῶν σανίδων, ξύλων, κωπῶν. ἐριηχέα· μεγαλόηχα, ἄγαν ἠχητικόν.

3.214 Δοῦπον· κτύπον. ἐπικροτέων· κτυπῶν, κρούων, ἠχῶν. πατάγῳ· ἐπὶ τῷ κτύπῳ. ἐπιτέρπονται· χαίρουσιν. ἔθνη· γράφεται ἦτορ. ἦτορ ἀνθιέων· περιφραστικῶς, οἱ ἀνθεῖς.

3.215 Τῷ· διὸ, διὰ τοῦτο. καί τις· γράφεται καὶ πού τις. ἀνέδραμεν· ἀνῆλθεν. λίμνης· θαλάσσης, καταχρηστικῶς λίμνην τὴν θάλασσαν λέγει.

3.216 Παπταίνων· ἐπιτηρῶν. ἄκατον· τὴν νῆα. τῷ δ'· τῷ ἀνθιεῖ.

3.217 Πέρκας· ἰχθύας, εἶδος ἰχθύος. ἴησιν· πέμπει, δίδωσιν. κορακίνους· ἰχθῦς.

3.218 Ἀσπαλιεύς· ἀπὸ τοῦ ἀσπάζεσθαι τὴν ἅλα, ἢ τὴν τῆς ἁλὸς τέχνην. ὀρέγων· διδούς. ξεινήια· φιλοτιμήματα.

3.219 Αὐτάρ· δέ. κεχαρημένος· χαίρων. εἰλαπινάζει· θοινεῖ, ἐσθίει, εὐωχεῖται.

3.220 Δαῖτα· εὐωχίαν. σαίνει· εὐφραίνει, κολακεύει, ὅτι ἥρπασε τὸ δέλεαρ. δολόφρονα· πανοῦργον.

3.221 Ὡς δὲ φιλοξείνοιο· παραβολὴ, παράδειγμα· λείπει τὸ ὅταν· ὡς δ' ὅταν τις ξενισθῇ περιπλούσιος γενναῖος ἢ φρόνιμος· τοῦτο γὰρ δηλοῖ τὸ κλεινὸς, ἢ ἐν ἔργοις χειρὸς, ἢ χειρὶ σοφὸς, ἢ σοφίᾳ νοός. μετ'· ἐν. οἰκία· δόμους, οἰκήματα. κέλσῃ· καταλύσει. κέλσοι· πλησιάζοι. κέλσει· πλησιάσει.

3.222 Κλεινός· ἔνδοξος. ἦ· κλεινός. ἔργμασιν· ἔργοις, πράξεσιν, κρατήμασι καὶ δωρήμασιν. ἠὲ νόοιο· ἢ νοός. νόοιο· φρονήσει, φρόνιμος.

3.223 Ἀσπασίως· ἀσμένως. εἶδεν ἐφέστιον· ἢ ἐδεξιώσατο. ἐφέστιον· ὑπὸ τῇ οἰκίᾳ. δώροις· χαρίσμασιν.

3.224 Εἰλαπίναις· εὐωχίαις. φιλοφροσύναις· φιλοτιμίαις, ἀγάπαις.

3.226 Κρητῆρος· κρατὴρ εἶδος ποτηρίου μεγάλου, ἐν ᾧ εἴσιν ἄλλα ποτήρια ἐμβεβλημένα μικρά. ἀμοιβαίοις· ἀλλεπαλλήλοις, διαδεκτικοῖς, τοῖς ἐξ ἀμοιβῆς καὶ δεξιώσεως γινομένοις, ἀντὶ τοῦ κατὰ διαδοχὴν ἑκατέρου

ἀντιδιδόντος καὶ ἀντιπίνοντος ἢ προπίνοντος τῷ ἑτέρῳ, τοῦ τ' οἰκοδεσπότου καὶ τοῦ φίλου. δεπάεσσι· ποτηρίοις.

3.227 Κεχαρημένος· χαίρων. ἐλπωρῇσι· ἐλπίσιν· ἐλπωρὴ γὰρ ἐλπίς.

3.228 Μειδιάα· γελᾷ, χαίρεται. νέοις· ἀμοιβαίοις. ἐπιτέρπεται· εὐφραίνεται.

3.229 Ὑπημάτιος· δι' ὅλης ἡμέρας, καθ' ἑκάστην ἡμέραν.

3.230 Στέλλεται· πλέει, πορεύεται, ἀγρεύεται. ἀνίησιν· ἀφίησιν.

3.231 Δεῖπνα· τροφάς. φέρων· διδούς. ἀμφαγέρονται· κύκλῳ συνέπονται, περισυνάγονται, συναθροίζονται.

3.232 Δαιτυμόνες· οἱ ἐσθίοντες, εὐωχηταί. χῶρον· ἐκεῖνον, κατὰ τὸν τόπον, καθ' ὃν δεξιοῦται ταῖς τροφαῖς αὐτοὺς ὁ ἁλιεύς. κλητῆρος· καλέως, καλεστοῦ. ἄγοντος· καλοῦντος.

3.233 Πλεόνεσσιν· πλείοσιν, πλείοσιν ἀνθιεῦσι, καὶ πλείοσιν οὖσι τοῖς ἰχθύσι καὶ συντόμοις εἰς τὸ λαβεῖν τροφάς. ἑτοιμοτέροις· προθυμοτέροις, πρὸς τὸ φαγεῖν, τοῖς πλησίον οὖσι πρὸς τὸ φαγεῖν, ἑτοίμοις οὖσιν εἰς τὸ φαγεῖν. παρίσχει· παρέχει, δίδωσιν, ἐνδίδωσιν.

3.234 Φορβὴν ἁρπαλέην· τροφὴν ἅσμενον. ἁρπαλέην· ἁρπακτικήν. ἄλλα κέλευθα· ἄλλαι ὁδοί.

3.235 Κευθμῶνες· κρυπτῆρες τόποι. ἐνὶ φρεσίν· εἴσι δῆτα.

3.236 Αὐτοῦ· ἐκεῖ, ἐπίρρημα τοπικόν. δηθύνουσιν· διατρίβουσιν. ἅτε· παραβολή. σταθμοῖσι· μάνδραις, μανδρίοις, σηκοῖς· σταθμὸς πολυσήμαντόν ἐστιν· σταθμὸς γὰρ ὁ ζυγὸς, σταθμὸς ἡ ἡμερήσιος ὁδὸς, τὸ παρὰ πολλῶν καλούμενον ὑποσταθμὸς, καὶ ἡ ἔπαυλις τῶν ζώων, ὁ δὲ νοῦς· καθάπερ τὰ πρόβατα χειμῶνος ἐν τοῖς σταθμοῖς αὐλίζονται καὶ κατασκηνοῦσι καὶ ἀπαναπαύονται· ἀπὸ τούτου καὶ τὰ ἱπποστάσια καὶ βουστάσια. νομήων· βοσκῶν.

3.237 Πώεα· ποίμνια. αὐλίζονται· κατασκηνοῦσι, συναθροίζονται.

3.238 Ὀλίγον· πρὸς ὀλίγον. σηκοῖο· μάνδρας, σταθμοῦ. λιλαιόμενα· ἐπιθυμοῦντα. προνέεσθαι· προπορεύεσθαι, ἐξέρχεσθαι. προνέμεσθαι· ἐξελθεῖν.

3.239 Ἀειρομένην· αἰρομένην, φερομένην, κουφιζομένην, κινουμένην.

3.240 Σπερχομένην· ἐπειγομένην· γράφεται στελλομένην· πορευομένην.

3.241 Καγχαλόωντες· χαίροντες. δινεύοντες· συστρεφόμενοι.

3.242 Ἱμερόεν· ἐπιθυμητόν. τιθήνῃ· τῇ τροφῷ, ἢ τῷ πλοίῳ, τῇ τρεφούσῃ αὐτὴν νηΐ.

3.243 Ὡς δ’ ὁπότ’· παραβολὴ, παράδειγμα. ἀπτήνεσσι· ἀπτέροις, ἀπτερώτοις, τοῖς μὴ δυναμένοις πτῆναι καὶ πετάσαι. βόσιν· τροφήν. ὀρταλίχοισι· πωλίοις, νεοττοῖς, νεογνοῖς, νεοσσίοις.

3.244 Μήτηρ εἰαρινή· ἡ χελιδὼν, ἡ κατὰ τὸ ἔαρ ἐπιδημοῦσά τε καὶ τεκνοποιοῦσα. ὄρνις· χελιδὼν, ὅτι αὕτη πρῶτον προαγγέλλει τὸ ἔαρ ἐλθοῦσα, καὶ οἱονεὶ ἄγλωσσος βοῶσα· ἰδοὺ ἔαρ, ζεφύρου δὲ τοῦ ἔαρος· ὁ γὰρ ζέφυρος τότε πνέει κατὰ τὸ ἔαρ, φέρων τὰ πρὸς ζωὴν ἐπιτήδεια. εἰαρινοῦ ζεφύρου· τοῦ ἔαρος, ἐν ᾧ πνέουσιν οἱ ζέφυροι.

3.245 Ἁπαλόν· νεαροχές. τρύζοντες· λαλοῦντες, τρυρίζοντες, καὶ βοῶντες. καλιῇ· τῇ φωλεᾷ.

3.246 Γηθόσυνοι· χαίροντες.

3.247 Ἀναπτύσσουσιν· ἀνοίγουσιν. λέληκεν· ἠχεῖ.

3.248 Λίγα· ὀξέως. κλάζουσι· βοῶσι, κλαίουσι, λαλοῦσιν· κλαγγὴ γὰρ ποιὰ φωνὴ ἐπὶ γεράνων κυρίως καὶ ἁρμάτων λεγομένη· καὶ Ὅμηρος «ἔγκλαγξαν δ’ ἄρ’ ὀϊστοί,» ὥσπερ καὶ φλοῖσβος ἐπὶ θαλάσσης, καὶ τὸ σίζειν ἐπὶ τηγάνου πεποιημέναι φωναί.

3.249 Θρεπτῆρος· τοῦ παρέχοντος τὴν τροφὴν, ἁλιέως. ἐναντίον· κατὰ πρόσωπον.

3.250 Γηθόσυνοι· εὐφρόσυνοι. χαίρουσι· γράφεται θρώσκουσιν. θρώσκουσι· πηδῶσιν. χοροιτύπον· χορευτικὸν, τὸν ὑπὸ χοροῦ κτυπούμενον.

3.251 Βρώμῃσιν· βρώσεσιν. ἐπασσυτέραισι· πυκναῖς. ἐπασσυτέρῃσι· συναθροιζομένοις μία μεθ' ἑτέρην, πυκνοτέραις. λιπαίνων· πιαίνων, τρέφων.

3.252 Ἐπιψαύει· κολακεύει, ἅπτεται αὐτῶν. τιταίνων· ἐξαπλῶν.

3.253 Πρηΰνει· πρᾷον ποιεῖ. ἄφαρ· εὐθέως. ἠΰτ' ἄνακτι· καθὰ δεσπότῃ.

3.254 Πείθονται· εὐπειθοῦσιν. μύωπι· δακτύλῳ, τῇ ὁρμῇ τοῦ δακτύλου, κινήσει τοῦ δακτύλου τοῦ μετὰ ἀντίχειρα κινοῦντος ἰχθύας, ὡς ὁ μύωψ κινεῖ τἄλλα ζῶα· μύωψ ὁ μικρὸς δάκτυλος.

3.255 Ῥίμφα· εὐθέως, εὐκόλως. νηὸς ὄπισθεν· ἐν τῇ πρύμνῃ.

3.256 Πρόσω· ἔμπροσθεν ἐν πρώρᾳ. τότε· ποτέ. σχεδὸν ἠπείροιο· πλησίον γῆς.

3.257 Ὄψεαι· θεάσεις. ἠΰτε· καθά· θεάσῃ γὰρ τοὺς ἀνθιεῖς ὥσπερ παῖδας ἐν ταῖς παλαίστραις ὧδε κἀκεῖσε ὁρμῶντας καὶ στρεφομένους τῇ φρονήσει τοῦ παιδαγωγοῦντος καὶ ἐπιτάττοντος αὐτοῖς ἀνδρὸς, ὅπου ἂν αὐτοὺς κελεύσῃ ὁ θεωρητής.

3.258 Ἐπιφροσύνῃσι· φρονήσεσι, διδασκαλίας. παλαισμοσύνης· παλαίστρας.

3.259 Τῇ καὶ τῇ· ὧδε καὶ ὧδε. θύνοντας· ὁρμῶντας. ἐπίσκοπος· ἐπιτηρητὴς, ὁ ἐπιτηρητὴς τῆς παλαίστρας.

3.260 Κομιδῆς· καὶ ἐπιμελείας. μέληται· γένηται.

3.261 Δή ῥα· ἀληθῶς. ἀναψάμενος· δήσας, κρατήσας. λαιῇ· ἀριστερᾷ.

3.262 Ἕζεται· κάθηται. ἀγκίστρου βέλος· περιφραστικῶς τὴν ὀξύτητα. κρατερόν· ἰσχυρόν. θοόν· ὀξὺ, ταχύ.

3.263 Ὁπλίζει· καθιστᾷ, καὶ ἑτοιμάζει. τοὺς μέν· τοὺς ἀνθιεῖς. ἀπέτραπε· ἐδίωξεν, ἐδίωκεν. χειρὶ κελεύων· διὰ τῆς χειρὸς προτρέπων.

3.264 Ὁμῶς· ὁμοίως. ἑλών· λαβών. ἔρριψε· ἔβαλλεν.

3.265 Δύνουσιν· ὑποχωροῦσιν.

3.266 Τῶν δ'· ἀπὸ τούτων. μοῦνον· αἰολικῶς. ἀπόκριτον· ἀποκεχωρισμένον, τὸν κρείττονα, διακεχωρισμένον.

3.267 Δύσμορον· ἐλεεινόν. ὑστατίοισι· ἐσχάτοις, ὑστερινοῖς. κεχαρμένον· χαίροντα, εὐφραινόμενον.

3.268 Ὤρεξεν· ἔδωκεν. ὑπεὶρ ἁλός· σχῆμα συντομίας.

3.269 Καρπαλίμως· ἰσχυρῶς, συντόμως, ταχέως ἀπὸ τοῦ τὴν κάραν πάλλειν. ἔσπασεν· ἔλαβεν. ἀμφοτέρῃσι· ταῖς χερσὶ δηλονότι.

3.270 Θερμός· σπουδαῖος, εὐκίνητος, ἐντρεχὴς, ἀνδρεῖος, διάπειρος καὶ ταχὺς εἰς τὸ εὐμηχάνως καὶ δεξιῶς ἀναλαβεῖν τοιαύτην ἄγραν· οὐδὲ γὰρ δεῖ μόνον τῷ τοιούτῳ φρονήσεως καὶ συντομίας πρὸς ταῦτα, ἀλλὰ καί τινος ἰσχύος καὶ οἰκονομικῆς ἐπιτηδειότητος, ὥστε καὶ τοὺς ἄλλους λαθεῖν ἀνθιεῖς ἐπὶ τῇ τοῦ ἑνὸς ἄγρᾳ, ἐπεὶ ὅλως, εἰ αἴσθοιντο τοῦ παθόντος, μὴ μόνον οὐκ ἂν ῥᾳδίως ὑποστραφεῖεν, ἀλλὰ καὶ αὐτὸν τὸν τόπον μισήσειαν· οὕτως ἐστὶν ὑπόδειλος ὁ ἀνθιεύς. ὀξεῖαν· σύντομον, ταχυτάτην. ἐπίκλοπον· πανοῦργον.

3.271 Χορόν· πλῆθος. ἴδωνται· καὶ ἴδωσιν.

3.272 Σμαραγῆς· κτύπου, ἦχου. ἀΐωσι· ἀκούσωσιν, ἀκούωσιν. δυσαγρέος· τοῦ κακῶς ἀγρευθέντος.

3.273 Οἱ· τῷ χορῷ τῶν ἀνθιέων, τῷ ἁλιεῖ. τόσα· πολλά. παρέσσεται· παρυπάρξει. ἵκοιντο· ἔλθοι.

3.274 Ὑποτροπάδην· ὀπίσω, ἐξ ἐπιστροφῆς, ὑποστρέψαντες ἔλθωσιν. ἀπὸ δ' ἔπτυσαν· ἀπεστράφησαν. ἐχθήραντες· μισήσαντες.

3.275 Κομιδήν· ἐπιμέλειαν, τροφήν. χῶρον· τόπον. ὀλέθριον· φθαρτικόν. τις· ἄς. εἴη· ἔστω.

3.276 Ἴφθιμος· ἰσχυρός. βιησάμενος· κατισχύσας. ἀνέλκοι· ἀνελκέτω.

3.277 Δεύτερος ἄλλος· ἕτερος ἁλιεύς. ἐφαπτέσθω· συνεπιλαμβανέσθω, κρατείσθω, συναντιλαμβανέτω. καμάτοιο· τοῦ κόπου.

3.278 Ὧδε· οὕτως. φρονέοντες· νοοῦντες.

3.279 Πιανθέντες· λιπανθέντες, τραφέντες, βρώμασιν. ἐοικότα· πρέποντα, ὁμοῖα. ἐοικότως· πρεπόντως. πιαίνουσι· τοὺς τροφεῖς, ἤως τοὺς ἁλιεῖς εὐφραίνουσι, λιπαίνουσι τὸν ἀγρευτῆρα, εὐφραίνουσι τῷ ἁλιεῖ.

3.280 Εὖτ' ἐθέλῃσθα· ἡνίκα ἐθέλῃς, ὅταν θέλῃς· διὰ παντὸς ἐξέσται σοὶ οὕτως τυγχάνειν ἄγρας τοιαύτης. παρέσσεται· ἔσεται, ὑπάρξει, γενήσεται. εὔστοχος· ἐπιτυχὴς, ἔξοχος, εὐτυχής.

3.281 Ἄλλοι· ἁλιεῖς· ἕτεροι δ' ἁλιεῖς ἄλλως ἀγρεύουσιν ἀνθιεῖς, ὅσοι μάλιστα ἰσχυροὶ καὶ ἐνδύναμοι τὸ σῶμα· καὶ ἄλλος γὰρ τρόπος ἐστὶ τῆς ἄγρας τῶν τοιούτων ἰχθύων, οὔτε φιλοξενίαν ἔχων, οὔτε δόσιν τροφῆς καὶ συνηθείας, ὡς εἰρήκαμεν. ἰφθίμῳ· ἰσχυρᾷ. βίῃ· δυνάμει. γυίων· μελῶν· γράφεται χειρῶν.

3.282 Πειθόμενοι· θαρροῦντες. ἆθλον· ἀγῶνα.

3.283 Οὐ φιλίην· φιλοξενίαν. οὔτε φιλίαν πρὸς αὐτοὺς ἐξασκοῦντες, οὔτ' εἰς τροφὰς ἐνεργοῦντες, οὔτε φιλίας τρόπον ἐπιδεικνύμενοι πρὸς αὐτοὺς, οὔτε περὶ τροφὰς αὐτῶν ἔχοντες καὶ ἐνεργοῦντες. πονεύμενοι· ποιοῦντες, ἐνεργοῦντες. ἀκωκή· ἀκμὴν, ὀξύτητα.

3.284 Ἠνορέῃ· δυνάμει. βιόωνται· καταπονοῦνται, βιάζονται.

3.285 Χαλκοῦ· ἐκ. τετυγμένον· ἐσκευασμένον.

3.286 Γλωχῖνες· ἀγγίδες, γλῶσσαι, γωνίαι, ἐξοχαί. ἄγουσιν· ἐξέχουσι, κρατοῦσιν.

3.287 Ἀμφίδυμοι· διπλαῖ, διπλοῖ, δύο πρότονες. ἢ δύο πώγωνες καὶ ἀκίδες τοῦ ἀγκίστρου εἰσὶν ἀφ' ἑκατέρου μέρους, ὧν τὸ σχοινίον ἀποδέουσιν. πεῖσμα· σχοινίον. λινόστροφον· ἐκ λίνου πεπλεγμένον.

3.288 Διήλασαν· ἔβαλον. ἐπερόνησαν. εἰσέβαλον.

3.289 Θῆκε· ἐνέβαλεν.

3.290 Βρίθοντι· βαροῦντι.

3.291 Ἀγκλίνει· ἀνατείνει.

3.292 Θώμιγξ· σχοινίον, ὁ σχοῖνος, ἔστω δηλονότι. κρατερή· ἰσχυρά. εὔπλοκος· καλόπλοκος, ὑπαρχέτω. ὅτε δοῦπον· κτύπον γὰρ ἐξεπίτηδες τῶν ἁλιέων ἐν ἀκάτῳ ποιούντων, ἀκούσαντες οἱ ἀνθιεῖς ἀνέρχονται κάτωθεν ἄνω.

3.293 Ἀναθρέξωσι· ἀναπηδήσωσιν, ἀναδράμωσι, πηδήσωσιν.

3.294 Ἄλλοις· τῶν ναυτῶν, τῶν ἁλιέων, ἀπὸ τῶν κοινῶν τοῦ πλοιαρίου. μέλεται κώπης πόνος διὰ φροντίδος ἐστὶ κωπηλατεῖν. αὐτὰρ ὅγ’ ἄκρης ἐκ πρύμνης· ὁ δ’ ἐν τῇ πρύμνῃ.

3.295 Δόλον ἀγκύλον· τὸ ἐπικαμπὲς ἄγκιστρον. ἄγκιστρον γράφεται ἀγκύλον· σκολιόν.

3.296 Ἦκ’· ἡσύχως. ἀναδινεύων· συστρέφων. ἔπονται· τῷ ἀγκίστρῳ· οἱ δ’ ἀνθιεῖς, πεμφθέντος τοῦ ἀγκίστρου μετὰ τοῦ δελέατος εἰς τὴν θάλασσαν, ἔπονται, νομίζοντες ζῶντα λάβρακα θεωρεῖν, καὶ σπεύδοντες ἀλλήλους παραδραμεῖν καὶ φαγεῖν τὸν λάβρακα ἐν τῷ προλαβεῖν· εἴποι τις ἂν ἰδὼν αὐτοὺς τρέχοντας ἐπὶ πολέμιον ἄνδρα φεύγοντα φέρεσθαι, φιλονεικοῦντας, τίς ἄρα προλαβὼν ἕλῃ αὐτὸν, καὶ οὕτω νικήσῃ λαβὼν τὸν ἀντίπαλον.

3.297 Νηΐ τε· καὶ τῷ πλοίῳ. φεύγοντι· ζῶντι, τῷ λάβρακι.

3.298 Μετά· εἰς. παραφθαδόν· συντόμως, προλαβόντως,

3.299 Δήιον· πολεμικὸν, πολέμιον.

3.300 Ἐλαφρίζειν· ἐφορμεῖν. γοῦνά τ’ ἐλαφρίζειν· τρέχειν, κούφως κινεῖν φεύγοντες, συντόμως κινεῖν. πεφοβημένον· φεύγοντα. νίκης· τοῦ λάβρακος.

3.301 Ἐσθλῆς· ἀγαθῆς. ἔξοχον· διαφορώτερον, καὶ λιπαρὰ, μέγαν. ἴδηται· προσέξει· ὁ δ’ ἁλιεὺς ὃν ἂν ἴδῃ λιπαρώτερον καὶ εὐμεγεθέστερον τῶν

ἀνθιέων, ἐκείνῳ παρέχει τὸ δέλεαρ.

3.302 Τῷ δαῖτα παρέσχεθεν· τούτῳ τὴν τροφὴν ἔδωκεν.

3.303 Δῶρα δύσδωρα· τὰ κακὰ καὶ ὀλέθρια δῶρα. μετέδραμεν· ἦλθεν, ἔφυγεν. μετέλαβεν· γράφεται μετεδρύμαν.

3.304 Ἀλκήν· δύναμιν. ἀμφοτέρων· τοῦ ἀνθιέως καὶ τοῦ κυνηγοῦ. θηήσεαι· θαυμάσῃς, θαυμάσῃ. ἄεθλος· ἀγών.

3.305 Μαρναμένων· μαχομένων. ἀνδρός τε· ἁλιέως ἕλκοντος κατὰ παράλειψιν.

3.306 Τοῦ μὲν γάρ· τοῦ ἁλιέως. μέτωπα· διὰ τὸ μέγεθος.

3.307 Αὐχένιοί τε· τὰ ἐξ αὐχένος μέχρι τῶν ἀστραγάλων διήκοντα νεῦρα. τένοντες· νεῦρα ἐξηπλωμένα ἀπὸ τραχήλου μέχρι τῶν ταρσῶν, τὰ ἀπὸ κεφαλῆς μέχρι ποδῶν διήκοντα νεῦρα, νῦν δὲ τὰ περὶ τὰ σφυρὰ λέγει νεῦρα, ἃ καὶ ὄπισθεν ἐξίστανται.

3.308 Ἠνορέῃ· δυνάμει. τανύονται· ὀγκοῦνται.

3.309 Ἀσχαλόων· βαρυνόμενος.

3.310 Ἕλκων αὖ ἐρύοντα· σύρων εἰς τοὐπίσω τὸν ἕλκοντα αὐτόν. βιώμενος· βιαζόμενος. δῦναι· εἰσελθεῖν.

3.311 Ἄσχετα μαιμώων· ἀσχέτως προθυμούμενος. κέκλεται· καλεῖ, καὶ προσκαλεῖται.

3.312 Ἐμπίπτειν· σφοδρῶς ἐλαύνειν, σπουδαιότερον ἐλαύνειν, κωπηλατεῖν. ἐλάτῃσι· κώπαις. διωκομένης· ἐλαυνομένης, τρεχούσης. ἀκάτοιο· νηός.

3.313 Ἔμπαλιν· εἰς τοὐπίσω· ὁ ἁλιεὺς ἀπὸ πρύμνης ἐπὶ πρώραν ἐφέλκεται ὅλος τῇ ὁρμῇ καὶ τῷ τινάγματι τοῦ ἐμπαγέντος τῷ ἀγκίστρῳ ἰχθύος. ὅλος· ὁ ἁλιεύς· γράφεται καὶ ἁλός· κατά.

3.314 Κλάζει· ἀδυνατεῖ, ἠχεῖ, ἐξ ἀσθενείας τρύζει, τουτέστι τρύζει, τείνεται, ἢ ποτὲ μὲν χαυνοῦται τῇ ἑλκύσει καὶ ἐνδόσει τοῦ ἰχθύος, ποτὲ δὲ τινάσσεται καὶ ταράσσεται. χειρὸς δ’ ἀπολείβεται· ἀπὸ δὲ χειρὸς τοῦ ἁλιέως στάζει.

3.315 Πριομένης· συρομένης, σχιζομένης. βαρύν· χαλεπόν. μεθίησιν· ἀφίησι, καταλείπει.

3.316 Ὡς δέ· παραβολὴ, παράδειγμα. ὑπέρβιοι· ἰσχυροί. ἀλκήν· κατά.

3.317 Ἄμματ'· σχοινία. τιταινόμενοι· ἕλκοντες. βιόωνται· βιάζονται.

3.318 Ἑλκῦσαι· ἀλλήλους. ὀπισθοφόροις· ὀπισθορμήτοις, ὀπισθοτέραις· γράφεται ὀπισθοφόρος. ἐρύοντες· κωλύοντες.

3.319 Δηρόν· ἐπὶ πολύ.

3.320 Ἐμμενέως· ἰσχυρῶς, ἐπιμόνως, προθύμως. ἐρύονται· ἕλκονται.

3.321 Νεῖκος· φιλονεικία. ὄρωρε· κεκίνηται ἀπὸ τοῦ ὀρίνω τὸ διεγείρω. ὄρωρε ἀπὸ τοῦ ὄρω τὸ διεγείρω.

3.322 Ἀπαΐξαι· ἀφορμίσαι. ἑλκέμεν· ἕλκειν τὸν ἰχθύν. ἱμείροντος· ἐπιθυμοῦντος.

3.323 Οὐ μέν μιν λείπουσιν· οὐ καταλιμπάνουσι τὸν ἁλόντα. ἐν ἄλγεσιν· ἐν πόνοις ὄντα. ἄλλος ὅμιλος· τῶν ἀνθιέων.

3.324 Ἐθέλουσιν· προθυμοῦνται. ἀμυνέμεν· ἀμύνειν, βοηθεῖν.

3.325 Νῶτα βίῃ· τοῖς νώτοις ἑαυτῶν ἐρείδοντες, συσφίγγουσιν αὐτὸν ἑλκόμενον κατέχοντες καὶ ἀνθέλκοντες τὴν ναῦν, εἴπως τῷ βάρει τῶν πολλῶν καὶ τῇ ἀνθελκύσει τῆς βίας ἢ τὸ ἄγκιστρον ἢ ὁ σχοῖνος ἀπορραγῇ. χρίμπτουσι· πλησιάζουσιν, ἐμβάλλουσι, προσβάλλουσιν. ἐμπίπτουσιν· προσπίπτουσιν.

3.326 Ἄφρονες· προσαναφώνησις τὸ σχῆμα. ἐνόησαν· συνεῖδον, ἐνθυμήθησαν. τείροντες· βλάπτοντες, ἢ βοηθοῦντες.

3.327 Θώμιγγα· σχοῖνον, σχοινίον. λιλαιόμενοι· προθυμούμενοι, ἐπιθυμοῦντες.

3.328 Ῥῆξαι· κόψαι. ἀμηχανόωσι· ἀδυνατοῦσιν, ἐν ἀπορίᾳ εἰσὶ ποιῆσαι τοῦτο. ἄνοπλον· μὴ ἔχον ὀδόντας, νωδὸν, ἐπεὶ οὐκ ἔχουσιν ὀδόντας ὀξεῖς.

3.329 Καμάτῳ· κόπῳ. ἕλκεσι· τραύμασιν. μοχθίζοντα· κακοπαθοῦντα.

3.330 Πυκναῖς εἰρεσίῃσι· τῇ πυκνῇ κωπηλασίᾳ. εἰρεσίῃσι· κωπηλασίαις. ἔσπασεν· ἔλαγεν. ἀνήρ· ἁλιεύς.

3.331 Οἱ· αὐτῷ, ἁλιεῖ, τῷ ἰχθύι. τυτθόν· ὀλίγον, μικρόν. ὑπείξεται· ἐνδώσει, ὑποταγῇ, ἐνδώσεται, ὑπενδώσει. οὐ· οὐδαμῶς.

3.332 Ἑλκύσει· ἀγρεύσει. ὑπερφίαλον· μέγα, παμμέγεθες.

3.333 Πολλάκι· πολλάκις ὑπὸ τὴν ῥάχιν αὐτοῦ τὴν ὀξεῖαν ὑπερπηδήσας ἔκοψε τὴν σχοῖνον δακών. ὀξύπρωρον· τὸ ὑπὲρ τὴν ῥάχιν ὀξύπρωρον, ἢ ὀξύπορον ἀντὶ τοῦ ὀξέως προϊοῦσαν καὶ ἀναδεδεμένην ῥάχιν· ἢ ὀξύπρωρον τὴν ἐμπροσθίαν παρὰ τὸ προορᾷν· καὶ πρώρα γὰρ οὕτω λέγεται ἀπὸ τοῦ προϊέναι καὶ προορᾶν, πρῴρά τις οὖσα, καὶ πρώρα. ἔτμαγε· ἔκοψε τὴν ὁρμιὰν μετὰ τῆς ὀξυπόρου ῥάχεως, μεταφορικῶς δ’ ἀπὸ τῆς πρώρης εἴρηται, ὀξείας οὔσης καὶ αὐτῆς. δάψας· δακὼν, πλησιάσας.

3.334 Ἀπὸ δ’ ἅιξε· ἀφώρμησεν, ἀπέφυγεν, ἔφυγεν, ὑπεχώρησεν. κενόν· ἄγρας. ἀγρευτῆρα· ἁλιέα.

3.335 Σθένος· δύναμιν. γενέθλη· ἡ γενεά.

3.336 Ὅσσαι· ὁπόσοι. δέμας· κατά.

3.337 Πλάζονται· ὁδεύουσι, διατρίβουσι τῇ ἁλὶ, ἀναστρέφονται ἐν τῇ θαλάσσῃ. τοίοις· τοιούτοις, σθεναροῖς δηλονότι. βραχίοσι· δυνάμεσιν. ἀγρώσσονται· ἀγρεύονται.

3.338 Ἄλλους· τῶν ἀνθιέων. βρώμῃσι· βρώσεσιν. εἰλαπίναισι· εὐωχίαις. δολώσας· δελεάσας.

3.339 Ἀγρώσσει· ἀγρεύει. ἀγαθὸς δέ τοι ἔσσεται· ἀγαθὸς γίνεται εἰς τὸ ἀγρεύεσθαι τῷ ἁλιεῖ οὕτω ποιοῦντι κάνθαρος, δύο δ’ εἴδη κανθάρων, τὸ μὲν ἓν, ὃ καλοῦσιν οἱ πολλοὶ τριχαῖος, τὸ δ’ ἕτερον γομφαρίοις ὅμοιον. τοι· τῷ ἁλιεῖ.

3.340 Λεπρῇσι· τραχείαις. μέμηλε· οἰκεῖ, ἐνδιατρίβει.

3.341 Κύρτον· ζωγρεῖον, κλωβίον. πλέξαιο· πλέξεις. περίδρομον· κυκλοτερῆ, στρογγύλον. ὅττι· λίαν. μέγιστον γράφεται τάχιστα.

3.342 Τεύχων· κατασκευάζων. σπάρτοισιν· βρούλλοις, ἀπὸ σπαρτίων. σπάρτῃσιν· καννάβῃ, οἷς χρῶνται ἐν ἄλωνι γεωργοὶ πρὸς τὸ σαίρειν καὶ φιλοκαλεῖν, ἃ πολλὰ ἐν Ἰβηρίᾳ· φυτὸν γὰρ ἡ σπάρτη χρήσιμον εἰς κείγου πλοκήν. γράφεται δὲ καὶ σπάρτος παρὰ τῷ ποιητῇ ἐν Ἰλ β ρλε· σπάρτοι δὲ λέλυνται.
εἰς δὲ κύρτων πλοκὴν ἔτι χρησιμώτερον ἡ σπάρτη· εἰ δὲ μὴ, ἔστω λύγος, κλάδος τις ἁπαλὸς καὶ ἀρραγὴς, καὶ ἀπαρτίζων τὸν κύρτον. Ἰβήρισι· Ἰβηρίδων, ἰσχυροῖς. λύγοισι· βεργίοις, ἁπαλοῖς βεργίοις, τοῖς βρύλλοις.

3.343 Ῥάβδους· ἀντὶ στημόνων. ἀμφιβαλών· πέριξ αὐτοῦ. λευρή· πλαγία, στενὴ, ὁμαλή.

3.344 Γαστήρ· ὁ κόλπος, τὸ βάθος. εὐρυχανής· πλατεῖα. ἐνείης· ἐμβάλλοις, βάλε.

3.346 Ὀπταλέους· ὀπτούς. κνίσῃ· ὀσμῇ.

3.347 Ἐντύνας· εὐτρεπίσοις, κατασκευάσας.

3.348 Δόχμιον· πλάγιον. ἀγκλίνοις· κλίνον, ἐπίθες, τὸ εὐκτικὸν ἀντὶ προστακτικοῦ. ὕφαλον· κρυπτὸν, τὸ κεκρυμμένον. λόχον· δόλον. ὀδμή· εὐωδία.

3.349 Ἵξεται· ἐλεύσεται, παραγίνεται.

3.350 Θαρσαλέος· θαρρῶν, ὁρμητικῶς. πρώτην ὁδόν· κατά.

3.351 Δαισάμενος· φαγών. παλίνορσος· ὀπισθόρμητος. παλίνδρομος· ὀπισθόδρομος. ἀνέδραμεν· ἀνεχώρησεν.

3.352 Κυρτεύς· ὁ κύρτους ἔχων. νεοτερπέα· τὴν ἐπὶ βραχὺ τέρπουσαν, τὴν νεωστὶ καὶ πρὸς ὀλίγον τέρπουσαν αὐτοὺς τροφὴν, ἢ νεοτερπέα τὴν νέαν ἔχουσαν τέρψιν καὶ ἡδονήν.

3.353 Ἐντίθεται· ἐμβάλλει.

3.354 Σύνδορπον· ὁμοδίαιτον, σύντροφον, σύνδειπνον. ἑταῖρον· φίλον.

3.355 Ἀτρομέοντες· ἀφοβοῦντες, ἄφοβοι ὄντες.

3.356 Πρόπαν ἦμαρ· δι᾽ ὅλης ἡμέρας. ἐνήμενοι· ἐγκαθήμενοι, καθήμενοι.

3.358 Ὡς δ᾽· παραβολὴ, παράδειγμα. ὀρφανικοῖο· ὀρφανοῦ, ἀντὶ ἁπλοῦ τὸ κτητικόν. μετ᾽· κατά. ἠιθέοιο· ἄζυγος νέου, παρθενικοῦ.

3.359 Σαοφροσύνῃσι· σωφροσύνης, εὐταξίας. μεμηλότες· φροντίζοντες, φροντίδα ἔχοντες. ἥλικες· συνομήλικοι.

3.360 Κλητοί· καλεστοί. αὐτόμολοι· αὐθόρμητοι, αὐτοκάλεστοι, καὶ ἑκουσίως ἐρχόμενοι, τινὲς μὲν καλεστοὶ, τινὲς δ᾽ αὐτοκάλεστοι. πανημαδόν· δι᾽ ὅλης ἡμέρας. ἀγερέθονται· ἀθροίζονται. ἠγερέθονται· συναθροίζονται.

3.361 Κτῆσιν· περιουσίαν, οἰκεῖα. κείροντες· ἐσθίοντες, δαπανῶντες. ἀσημάντοιο· ἀφυλάκτου, τοῦ μὴ φυλακὴν ἔχοντος, ἀμετρήτου. δόμοιο· οἴκου.

3.362 Οἷα· ὁποῖα. ἀνίησι· ἐνδίδωσιν, ἀναπείθει, δίδωσι ποιεῖν δηλονότι. χαλίφρονας· μωροὺς, τοὺς κεχαλασμένους τὴν φρόνησιν, ματαιόφρονας· χάλις ὁ οἶνος παρὰ τὸ χαλᾷν τὴν ἶνα. ἄκριτος· ἀσύνετος, μὴ διακρίνουσα τὸ καλόν. ἥβη· ἡλικία.

3.363 Κακοφροσύνῃσι· ταῖς κακοβουλίαις.

3.364 Ἀγρομένοισι· ἀθροιζομένοις. παρασχεδόν· πλησίον. ἵσταται· ἐπέρχεται.

3.365 Εὐλιπέες· λιπαροὶ, πιμελώδεις. τελέθωσι· γένωνται. ὑπαρχέτω.

3.367 Ἀραρώς· ἁρμόσας, ὁρμήσας. ἕρκεϊ· κύρτῳ. πεπτηῶτας· ἡπλωμένους, συστελλομένους, πεσόντας.

3.368 Ὑστάτιον· καὶ τελευταῖον. κνώσσοντας· κοιμωμένους, καρηβαριῶντας, ἀνοηταίνοντας. ἀνείρυσεν· εἵλκυσεν.

3.368bis Φρασάμενοι· νοήσαντες. σπεύδουσι· γράφεται σπαίρουσιν. σπαίρουσι· κινοῦνται, κινοῦσιν. ἐκδῦναι· ἐξελθεῖν. μεμάασι· προθυμοῦνται.

3.370 Νήπιοι· ἀνόητοι, μωροί· νήπιος ὁ ἀνόητος ἀπὸ τοῦ ἄπο εἶναι νοῦ. νήπιον τὸ βέλεφος ἀπὸ τοῦ νοῦν ἧπιον ἔχειν. ὁμῶς· τῷ πρώτῳ καιρῷ. εὔοικον·

καλῶς οἰκούμενον.

3.371 Ἄδμωσι· συακίοις, κατὰ τῶν ἀδμώνων· ἄδμωνες εἶδος ἰχθύος τῶν λεγομένων συακίων. ὀπωρινόν· θερινὸν, ποτέ. ὁπλίζονται· κατασκευάζουσιν.

3.372 Οἰσυϊνόν· ἤγουν ἐξ ἰτέας, ἀπὸ τοῦ ἠσίνου δένδρου πεπλεγμένον· οἰσύα εἶδος φυτοῦ σχοινώδους, καὶ γίνεται ἀπὸ τοῦ οἴω οἴσω τὸ κομίζω· εὐμετακόμιστον γάρ ἐστι καὶ εὐλύγιστον τὸ φυτόν. οἰσυϊνόν· εἶδος φυτοῦ εὐλύγιστον. ὁρμίζονται· ἐλλιμενίζουσι, προσρίπτουσιν.

3.373 Νέρθεν· κάτωθεν, ὑποκάτωθεν. ἀναψάμενοι· κρεμάσαντες, ἀναδήσαντες τρητὸν λίθον κάτωθεν προσδεσμοῦσι τοῦ κύρτου, ἵνα διὰ τὸ βάρος μὴ σαλεύηται ὑπὸ τῶν κυμάτων· οἱ μὲν γὰρ λίθοι δεσμούμενοι τοῖς τοιούτοις κάτω συνέχουσιν, οἱ δὲ φελλοὶ ἄνω φέρουσιν. τρητόν· τρυπητὸν, καὶ τετρυπημένον. εὐναστῆρα· στηρικτὴν, δεσμευτὴν, δεσμῶτα, καὶ κοιμηστήρια.

3.374 Ὀχμάζουσιν· ἀναβαστάζουσι, κινοῦσι, βαστῶσι, κρατοῦσιν, ἀνέχουσι, βαστάζονται. δόλον· κύλον. ἐν δέ οἱ· ἐν αὐτῷ δὲ, τῷ κύρτῳ.

3.375 Ἀκταίους· αἰγιαλώτας, παραθαλασσίους, ἀπὸ τῆς ἀκτῆς. διερούς· γλίσχρους, μυξώδεις, διύγρους. κάχληκας· λίθους θαλασσίους, βώλους. ἰεῖσι· βάλλουσι, πέμπουσιν, ἐμβάλλουσιν.

3.376 Διαινομένοισι· βρεχομένοις. περιτρέφεται· γίνεται, αὐξάνεται. γλαγόεσσα· γαλακτώδης, ἀφρώδης, λευκή.

3.377 Μύξα· ἀφρὸς, λίπος, ἀφρώδης. ἵμερος· ἐπιθυμία. ἕλκει· ἐπάγεται.

3.378 Λίχνον· λαίμαργον.

3.379 Προρρέοντες· τρέχοντες. ἐπιπροθέοντες· περικυκλοῦντες, προτρέχοντες.

3.380 Ἄδμωνες· διώκουσι τὰ μικρὰ φαγεῖν καὶ ἀγρεύονται. μυχοῖο· γράφεται καὶ κοίλοιο.

3.381 Ἐπί σφισιν· κατά.

3.382 Ἐλδόμενοι· ἐπιθυμοῦντες. τοὺς δ’ οὐχ ἕλον· οἱ ἄδμωες τοῖς μικροῖς ἐπελθόντες αὐτοὺς μὲν ὅπως οὐχ εἷλον διὰ τῶν ὠπῶν τοῦ κύρτου διολισθήσαντας, αὐτοὶ δὲ περιέπεσον καὶ ἄλλοις βλάβην ἐθέλοντες αὐτοὶ μᾶλλον ἀπώλοντο. τοὺς δ’ οὐχ ἶδον· γράφεται καὶ κίχον. ὑπόλισθον· ἔπεσον, ἐξέφυγον.

3.383 Ἰέμενοι· προθυμούμενοι. ἔχουσι· δύνανται.

3.384 Αὖτις· πάλιν. ὑπεκδῦναι· ὑπεξελθεῖν. πλεκτὸν λόχον· τοῦ κύρτου. ἑτέροισι· ἄλλοις.

3.385 Πήματα· βλάβην· πῆμα ἡ βλάβη. πορσύνοντες· παρέχοντες. ἐπί σφισιν· καθ’ ἑαυτῶν. ὄλεθρον· ἀπώλειαν.

3.386 Ὡς δέ τις· παραβολή· οἱ κυνηγοὶ βόθρον ὀρύσσοντες ἱστῶσιν ἐν αὐτῷ ξύλον μηχανητὸν, ἄνωθεν μὲν ἔχον λίθον, ὑποκάτω δ’ ἔριφον, ἢ κύνα· ἐλθόντος δὲ τοῦ θηρὸς καὶ ἐπιπηδῶντος τῷ βόθρῳ, ἀναστρέφεται τὸ ξύλον διὰ τῆς ἐν αὐτῷ μηχανῆς καὶ φέρει τὸν μὲν ἔριφον ἄνω, τὸν δὲ λίθον κάτω, καὶ οὕτως ἀγρεύεται ὁ θήρ. ξυλόχοισιν· τόποις ξύλους ἔχουσιν. ὀρέστερος· ὀρείφοιτος, ὀρεινὸς, ὀρειφοίτης, ἐν ὄρει διάγων. ἀγροιώτης· ἀγρὸν οἰκῶν, κυνηγός.

3.387 Θηρί· παρδάλει· θῆρα κυρίως τὸν λέοντα λέγουσιν, ἐνταῦθα δὲ καὶ τὴν πάρδαλιν διὰ τὸ ἄγριον καὶ μιαιφόνον. λέγονται καὶ τὰ ἄλλα ζῶα θῆρες, καὶ τὰ κήτη δ’ αὐτὰ τῆς θαλάσσης, ὡς καὶ ὁ «ὑμνῳδὸς εἰναλίη θήρ». ἤρτυνεν· ηὐτρέπισεν. ἐκατεδίκασεν. ἀπηνέι· χαλεπῷ, ἀσυμπαθεῖ, σκληρῷ.

3.388 Δῆσε· ἔδησεν· βάλλουσι γὰρ ἐν τῇ πάγῃ κάτωθεν ἢ κύνα, ἢ ἔριφον, ἀκούων δὲ λέων ἢ πάρδαλις τῆς φωνῆς τοῦ τοιούτου ζώου μακρόθεν ἔρχεται λαφύξων αὐτό· ἐπὰν δὲ τῆς πάγης ἔνδον γένηται τὸ θηρίον, πίπτει μὲν διὰ μηχανῆς τὸ ξύλον ἐπὶ τὰ ἄνω φέρον τὸν ἔριφον ἢ τὸν κύνα, τὸ δὲ θηρίον ἁλίσκεται. μήδεα· αἰδοῖα.

3.389 Ἠχήεις· ἠχητικός. ὀρυμαγδός· ἦχος, βοὴ, φωνή. ἀπόπροθι· μακρόθεν, μακρὰν, ἔμπροσθεν. μυρομένοιο· κλαίοντος, θρηνοῦντος· γράφεται τειρομένοιο· δαμαζομένου.

3.390 Ἔρχεται· ἀκούεται. ἀμφὶ δέ οἱ· περὶ δὲ τῷ κυνὶ, πανταχοῦ. στένεται· ἠχεῖ, ἠχεῖται, ἀντηχεῖ. δρίος· δάσος ἢ ὄρος, ἢ δρυμών· δρίος ὁ σύμφυτος τόπος, ἢ τὸ ὄρος, ἀπὸ τῶν ἐκεῖσε δρυῶν καὶ δρυμῶν· ἀπὸ τούτου καλεῖται τὸ δάσος. ἀΐουσα· ἀκούουσα.

3.391 Ἰάνθη· εὐφράνθη, ηὐφράνθη. ἔσσυται· γράφεται καὶ ἔδραμεν. ἴχνος· κατὰ τό. ἀϋτῆς· βοῆς, τῆς φωνῆς.

3.392 Μαιομένη· ζητοῦσα. τάχα· ταχέως. ἶξε· ἦλθεν, ὥρμησεν. ἔθορε· ἔσω ἐπήδησεν. τὸν μέν· τὸν κύνα.

3.393 Κρυπτὸς δόλος· ἡ πάγη. βόθρῳ· λάκκῳ,

3.394 Εἱλεῖται· συστρέφεται. δαιτός· τροφῆς.

3.395 Φόβου· φυγῆς. ὑπέκδυσις· ὑπεξέλευσις, φυγὴ, ἐξέλευσις. ἑτοίμη· πρόχειρος, δυνατή.

3.396 Δειλοί· δείλαιοι.

3.397 Πότμον· θάνατον. ἐφωρμήσαντο· ἔλαβον, ἐπεσπάσαντο, ἐσώρμησαν. ἄιδος· ᾅδου. ἔρκος· φραγμόν.

3.398 Τις· ἁλιεύς. θρίσσῃσιν· ἰχθύες.

3.399 Φράσατ'· ἐνόησεν. ὀπωρινήν· θερινὴν, κατὰ τὴν, εὐχερῆ καὶ ἡδεῖαν. λαρινόν· τὸ λεγόμενον κύλας, εἶδος ἰχθύος· γράφεται λάειμον.

3.400 Τραχούρων· τρίχων. κύρτον μὲν ὑπὸ σπάρτισιν· βρουλίαν ἰβηρικὴν διὰ σπάρτων. ὑπὸ σπάρτῃσιν· ὑπὸ σπάρτων καὶ σχοινίων. ὑφήνας· κατασκευάσας, πλέξας.

3.401 Εὐπαγέως· στερεῶς. ἐπιστημόνως. φρυκτῶν· κεκαυμένων, πεφρυγμένων.

3.402 Μυδαλέην· διάβροχον, βεβρεγμένην, τῷ οἴνῳ. κούρης· τῆς Μυρσίνης τῆς θυγατρὸς τοῦ Θείαντος.

3.403 Δάκρυον· τὴν λιβανωτὸν λέγει· σημείωσαι. Θειαντίδος· θυγατρὸς Θείαντος, δάκρυόν φησι τῆς Θειαντίδος κόρης ὀπὸν φυτὸν ἐν Περσίδι γινόμενον· τοῦτο γὰρ εὐῶδες καὶ τοῦτο τοῖς κύρτοις οἱ ἁλιεῖς χρίουσι,

σμίγοντες τοῖς φρυκτοῖς ὀρόβοις. δάκρυόν φησι τῆς Θειάντιδος κόρης τῆς Μυρρίνης, ἥτις ἐρασθεῖσα τοῦ πατρὸς Θείαντος εὐπρεποῦς ὄντος· ἡ τροφὸς συνεκοίμησε ταύτην τῷ πατρὶ, εἰσάγουσα κατὰ τὴν νύκτα, ὡς ξένην γυναῖκα, γνοὺς δ' ὁ πατὴρ κατεδίωξε αὐτὴν τὴν θυγατέρα ἐπὶ τῷ φονεῦσαι, ἐλεήσας δ' αὐτὴν ὁ Ζεὺς ἐποίησε χάναι τὴν γῆν καὶ δέξασθαι αὐτὴν, καὶ ἐκ τοῦ τόπου ἀνῆλθε φυτὸν καὶ τοῦ χρόνου φθάσαντος τοῦ τοκετοῦ ἔτεκε τὸν Ἄδωνιν· ὁ γοῦν ὀπὸς ἤτοι τὸ δάκρυον τοῦ φυτοῦ εὐῶδές ἐστι, καὶ τοῦτο τοῖς κύρτοις οἱ ἁλιεῖς χρίουσιν. Μέμνηται τῆς ἱστορίας ὁ Λυκόφρων λέγων
Μύρρας ἐρυμνὸν ἄστυ τῆς μογοστόκου.
ἱστοροῦσι τοῦτον τὸν μῦθον ἐν Πέρσαις γενέσθαι· τούτου γοῦν τοῦ φυτοῦ τὸν ὀπὸν ἢ τὸ δάκρυον χρίουσιν οἱ ἁλιεῖς τοῖς κύρτοις· εὐῶδες γὰρ λίαν.

3.404 Ἐρασσαμένην· ἐρασθεῖσαν. δυσμήχανον· καὶ εὐπόρητον. ἀνύσσαι· πρᾶξαι.

3.405 Φιλότητα· μίξιν. χολωσαμένης· ὀργισθείσης, τῷ πατρί.

3.406 Ἐρρίζωσεν· ἀνέδωκεν, καὶ μετέβαλεν.

3.407 Αἶσα· τύχη, μοῖρα. γοάει· θρηνεῖ, Μύρρα. ὀλοφύρεται· θρηνεῖ· ὀλοφύρω ὁμοίως θρηνῶ.

3.407bis Δευομένη· βρεχομένη. λέκτρου· κοίτης.

3.409 Θεῖον ὀπόν· τὸν λιβανωτὸν, τὸ δάκρυον. ἐνορμίζει· ἐμβάλλει. ῥοθίοισιν· ῥεύμασιν.

3.410 Αἶψα· ταχέως. ἐπέδραμε· ἐπῆλθεν. λειριόεσσα· ἡδεῖα, εὐώδης, εὔοσμος.

3.411 Κικλήσκουσ'· προσκαλουμένη. πολυειδέας· πολλάς. φέρονται· ἕλκονται.

3.412 Πνοιῇ νηδυμίῃ· τῇ ἡδυτάτῃ εὐωδίᾳ, πνοῇ ἡδυτάτῃ. νηδυμίῃ· γλυκείᾳ. δεδονημένοι· κεκινημένοι. ὦκα· ταχέως.

3.413 Πίμπλαται· γέμει. ἀγρευτῆρι· ἁλιεῖ. εὔθηρον· καλήν. ἀμοιβήν· χάριν. ἀμοιβὴν εὔθηρον· τῆς γλυκύτητος τὸ σχῆμα· περιτίθησι γὰρ ὁ ποιητὴς ὥσπερ τῷ ἀψύχῳ κύρτῳ ἦθος, εἰπὼν, ὅτι φέρει ὁ κύρτος τῷ ἁλιεῖ

ἀντάμειψιν, ἀντὶ τῆς μάζης ἀνταπόδοσιν, οὓς ἐναπέκλεισεν ἰχθύας δηλονότι, ἄγραν καλήν.

3.414 Ἰκμαλέοις· διύγροις, ἀνθηροῖς. φύκεσσι· βρύοις. μάλιστα· κατὰ πολύ.

3.415 Τέρπονται· χαίρουσιν. ἀγρώσσονται· ἀγρεύονται. ἐδωδῇ· τροφῇ. βίῳ.

3.416 Πλώοι· πλεέτω. πλώει· πλέει· πρό τινων ἡμερῶν ὁ ἁλιεὺς πλέει εἰς ἕνα τόπον φύκια ἔχοντα, οἷς ὑποτίθησι λίθους περιπληθεῖς, οὕστινας μετὰ ταῦτα τοῖς κύρτοις ἐντίθησι κεκαλυμμένους καὶ ἐντετυλιγμένους τοῖς βρύοις, ὧν συνήθεις γίνονται αἱ σάλπαι ἐφ᾽ ἡμέραις τισίν.

3.417 Μετ᾽ οἴδμασι· ἐν θαλάσσῃ. λᾶας· λίθους. ἴησι· πέμπει.

3.418 Χερμάδας· λίθους χειροπληθεῖς. ἁψάμενος· ἀναδήσας, πέμψας, προσεγγίσας. φύκια· βρύα. τηλεθόωντα· θάλλοντα.

3.419 Πέμπτη· πεμπταία. ἠριγένεια· ἡ ἡμέρα ἀπὸ τοῦ ἦρ, ἡ πρωΐα, πρωινὴ ὥρα καὶ ἡμέρα, κυρίως ἡ πρωΐα καὶ τὸ τῆς πρωΐας κατάδημα.

3.420 Ἀγρόμεναι κεῖνον πόρον· περὶ τὸν τόπον ἐκεῖνον, ἔνθα οἱ ἁλιεῖς τοὺς φυκιώδεις λίθους ἐπιφρίττουσιν.

3.421 Τῆμος· τότε, αὐτίκα. ἐπεντύνει· εὐτρεπίζει, κατασκευάζει.

3.422 Εἰλυμένους· κεκρυμμένους, ἐντετυλιγμένους. ποίας· βοτάνας.

3.423 Στομίοισιν· τοῖς κύρτου. ἐδήσατο· προσέδησε, περιέδησεν. τῇσι· ἐν αἷς. γάννυνται· χαίρουσιν.

3.426 Ἠΐχθησαν· εἰσήλθοσαν, ὡρμήθησαν, ἀπὸ τοῦ ἀΐσσω τὸ ὁρμῶ.

3.427 Ῥίμφα· ἡσύχως, εὐκόλως. μεταπλώσας· διαπλεύσας, καὶ ὕστερον πλεύσας. ἄνυται· ἀνύεται, τελειοῦται.

3.427bis Ἀσμαράγοις· ἀκτύποις, ἡσύχοις.

3.429 Σιγὴ γάρ· ἐν πάσαις ταῖς θήραις τῶν ἰχθύων ὠφελιμός ἐστιν ἡ σιγὴ, ἐπὶ πλέον δὲ τῶν σαλπῶν. ὠφέλιμος· χρήσιμος. ἔπλετο· ὑπάρχει. θήραις· ἄγραις.

3.430 Ἔξοχα· πλέον.

3.431 Πτοιαλέον· ἐπίφοβον, περίφοβον, δειλόν. τοῖσι δέ· τοῖς ἁλιεῦσιν. πτοίη· φόβος. πτοίῃ· φόβῳ. δύσθηρον· δύσκολον εἰς θήραν, κακοθήρατον, δυσάγρευτον. ἔθηκαν· ἐποίησαν.

3.432 Τινα· ἰχθὺν δηλονότι. χερειοτέρῃσιν· χείροσιν.

3.433 Τέρπεσθαι· χαίρειν. ἄσιν· ῥύπον, ἰλὺν, ἀχρηστίαν ῥυπώδη. κε κίχῃσι· ἂν καταλάβῃ, λάβῃ, ἰωνικῶς, καταλάβωσιν.

3.434 Φέρβεται· τρέφεται. ἰμείρει· ἐπιθυμεῖ. δυσαέος· δυσόσμου, δυσοσμητικῆς, δυσώδους, κακῶς πνεούσης. ἔξοχα· πλέον. δαιτός· εὐωχίας.

3.435 Ἐκπάγλως· λίαν, ἐξόχως. ἐπιτέρπεται· ἐπιχαίρει. ἀνδρομέοισι· ἀνθρωπίνοις.

3.436 Πυθομένοις· σηπομένοις, σεσημμένοις, τοῖς ὄζουσιν, ἤως δυσώδεσιν. ἔλῃ· φονεύσῃ. στονόεσσα· ἡ πολλῶν στεναγμῶν αἰτία.

3.437 Τῷ· διὸ, διὰ τοῦτο. μιν· αὐτὴν τὴν τρίγλαν. δελέεσσιν· δελέασι, δελεάσμασιν. ἀποπνέουσι· γράφεται ἀποπτύστοισιν. ἀποπτύστοισιν· βδελυκτοῖς, μυσαροῖς. ἀϋτμήν· κατά. ἀϋτμῇ· ὀδμῇ· διὸ καὶ τρίγλην θηρεύουσιν ἁλιεῖς δελεάμασι κρεάτων σηπομένων ζώων, καὶ μάλιστα τῶν δυσώδη πνοὴν ἐχόντων καὶ ὅσα προσόζουσιν.

3.438 Ἕλκουσιν· ἀγρεύουσιν· διὰ τοῦτο δελεάζεται ὑπὸ τῶν νεκρῶν δελεάτων. πνέει· ἔχει, πέμπει. ἄημα· ὀσμὴν, νεῦμα.

3.439 Σύεσσι· χοίροις. τετύχθαι· κατεσκευάσθαι, κατασκευάσαι.

3.440 Ἤθεα· διατριβάς. φυρομένοισιν· μολυνομένοις, κινουμένοις, κυλιομένοις, συμπεπλεγμένοις.

3.441 Διάκριτοι· διακεχωρισμένοι ἐκ τῶν ἄλλων.

3.442 Ἀριστεύουσ'· πρωτεύουσι, διαφέρουσι λαιμαργίᾳ, ὑπερνικῶσιν.

3.443 Ἀποίσεαι· λάβῃς, ἀποίσεις, ἀγρεύσεις, ἀπενέγκῃς, ἀποκρεμήσῃς.

3.444 Ῥηιδίως· εὐκόλως. ἀπαφῶν· ἀπατῶν, ἀπατήσας. λινοεργέι κόλπῳ· δικτύῳ, σαγήνῃ.

3.446 Ἠδὲ σαοφρονέων· καὶ σωφρονῶν, καὶ φρόνιμος· γράφεται οὐ σαοφρονέων, ἀλλὰ μωραίνων, ὅτι ἐν ταραχῇ τῆς θαλάσσης κινεῖται· γαλήνης δ' οὔσης κεῖται καὶ οὐ λογίζεται περιπατῶν ταραττομένης τῆς θαλάσσης, ἢ ὅτι ὑπ' ἀνδρὸς ἢ ὑφ' ἑτέρου ἰχθύος φθαρήσεται· διὸ ἁμαρτάνει τοῦ σκοποῦ. λίχνη· ἐπιθυμητὴ, λαίμαργος, ἄπληστος.

3.447 Θυμήρης· ἐπιθυμητή.

3.448 Κέκλιται· κεῖται. ἀναδύεται· ἀνέρχεται, ἀνέχεται.

3.449 Κυμαίνουσα· ταραττομένη. περισπέρχῃσι· ταράσσεται, κατεπείγεται, βιάζεται, ἐπείγεται.

3.450 Λάβρων· ἰσχυρῶν, σφοδρῶν.

3.451 Διαΐσσουσιν· διατρέχουσι, διέρχονται, ὁρμῶσιν.

3.452 Πεφρικότες· φοβούμενοι.

3.453 Νεάτην· ἐσχάτην. κρηπῖδα· γῆν, βάσιν, θεμέλιον. φόβῳ· ὑπὸ τοῦ φόβου. δύνουσι· ὑπεισέρχονται.

3.454 Οἱ δέ· οἱ μελάνουροι. πολυφλοίσβους· πολυταράχους. ἐφέπουσι· διέρχονται, ἐπέρχονται, ἔρχονται.

3.455 Ἐμπελάουσιν· πλησιάζουσιν. ἀλήμονες· πλανώμενοι, πλανῆται, πεπλανημένοι. εἰ· εἴ πως. ἐδητύν· βρῶσιν.

3.456 Κοπτομένη· διεγειρομένη, πληττομένη, βρασσομένη, τυπτομένη, ταραζομένη. ὑπαὶ ῥιπῇσι· τοῦ ἀνέμου, ὑπὸ ταῖς ὁρμαῖς τῶν ἀνέμων.

3.457 Νήπιοι· μωροί. πινυτώτεροι· φρονιμώτεροι, εἰσὶν, ὑπάρχουσιν.

3.458 Ἀλευομένους· φεύγοντας, κρυπτομένους, ἐκφεύγοντας. ἕλον· ἔλαβον.

3.459 Χειμερίη· χειματική. πλημμυρίς· ταραχή. κῦμα· ὅταν ἡ πλημμυρὶς ἀμφιτρίτης χειμερία οὖσα ταραχθῇ. ζέει· βράζει, ἀναβράζει. ἀμφιτρίτης·

θαλάσσης.

3.460 Προΰχουσαν· προβλήτιδα, προέχουσαν, ὑψηλήν. ἁλιηγέα· ἁλὶ κυκλουμένην, τὴν ἁλὶ περιαγομένην, ἀμφίαλον, ὑπὸ θαλάσσης κυκλουμένην, ἢ τὴν ἡγουμένην ἐν θαλάσσῃ καὶ ἐξέχουσαν, ὑπὸ τῆς θαλάσσης κατακλυζομένας πέτρας.

3.461 Ὀξύτατον· πως, δυνατώτατον. τόθι· ὅπου. σπιλάδεσσι· πέτραις. μέμυκεν· ἠχεῖ.

3.462 Εἴδατα· βρώματα, εἶδαρ εἴδατος. ἀγνυμένοισι· συντριβομένοις, κλωμένοις, κοπτομένοις. ἐπισπείρει· ἐπιβάλλει, σκορπίζει.

3.463 Δήμητρι· ἄρτῳ, σίτῳ, ἀλεύρῳ, τῷ σίτῳ καθ' Ἡσίοδον καὶ τοὺς λοιποὺς ποιητὰς, ἀφ' οὗ καὶ δημήτριος καρπὸς ὁ σῖτος. πεφυρμένον· μεμιγμένον.

3.464 Ἀσπασίην· εὐάρεστον. ἀσπάσιοι· μετὰ χαρᾶς. θρώσκουσιν· πηδῶσιν, ἐπέρχονται. ἐπειγόμενοι· σπεύδοντες.

3.465 Παρέωσιν· ὑπάρχουσι, παρυπάρχουσιν. βόλον· τὸ δίκτυον, εἰς τὸ ἄγκιστρον, εἰς τὴν ἄκραν τῆς ἄγρας· βόλος γὰρ ὁ τόπος τῆς ἄγρας, βόλος τὸ ἄγκιστρον, βόλος τὸ δίκτυον, καὶ ἡ δρόσος τοῦ οὐρανοῦ.

3.466 Αὐτός· ὁ ἁλιεύς. τρέπεται· τρέπει. λοξόν· πλάγιον. δέμας· σῶμα.

3.467 Τάρβος· φόβον, ἵνα μὴ φοβηθῶσιν οἱ ἰχθύες. ἐνείη· ἐμβάλοι.

3.468 Δόναξ· κάλαμος. μετά· ἐν.

3.469 Κούφης· ἐλαφρᾶς, λεπτῆς, μικρᾶς. τριχός· ἀπό. ἄπλοκος· ἄκλωστος. αὔτως· οὕτως, ἁπλῶς, ἀπεριέργως.

3.470 Ἀναπλέκεται· δεσμεῖται, κρέμαται. θαμέεσσι· πυκνοῖς.

3.471 Ἐπέθηκε· ἐνέβαλεν. δέλετρον· δέλεαρ, ἅ ὡς ψωμὸν καὶ τυρόν. ἧκε· ἔπεμψεν.

3.472 Κυκώμενον· κινούμενον, ταρασσόμενον.

3.473 Ἐπιθρώσκουσιν· ἐπιπηδῶσιν. ὄλεθρον· τὴν ἑαυτῶν ἀπώλειαν.

3.474 Εὔκηλον· ἥσυχον, ἀργήν· ὑπογράφει τὸν ἁλιέα, πῶς ἁλιεὺς τοὺς μελανούρους· μὴ γινώσκων γὰρ ἐκ τῆς ζάλης καὶ τοῦ πολλοῦ σάλου τῶν κυμάτων, εἰ ἔλαβον τὰ ἄγκιστρα, συχνῶς ἀναφέρει, ἀποπειρώμενος αὐτῶν καὶ βουλόμενος γνῶναι, εἰ ἔχουσί τι· οὐδὲ γὰρ ὁρᾷν αὐτὰ ὑπὸ τοῦ χειμῶνος δύναται.

3.475 Κενά· τὰ ἄγκιστρα. εἶεν· ὑπάρχοιεν.

3.476 Βρασσομένης· ταρασσομένης, ἀναγκαζούσης. ἐπιφράσσαιτο· διανοήσαιτο, ἐννοήσει, ἐπισκέψαιτο, ἐπινοήσει.

3.477 Οὖν· ἄρα. τις· ἰχθύς. ἐνίσχεται· κατέχεται, κρατεῖ. καί· μιν. αὖτως· κακῶς, μάτην.

3.478 Ἀνακλονέουσιν· ἀναταράσσουσι τὰ ἄγκιστρα, ταράσσουσιν.

3.479 Ῥίμφα· εὐκόλως. ἐξείρυσσε· ἔξω εἵλκυσεν, ἐξείλκυσεν. πάρος· πρὸ τοῦ. δόλον· ἀντὶ τοῦ νόησιν. φρεσί· μελανούροις, συνεκδοχικῶς. θέσθαι· λαβείη, ποιῆσαι.

3.480 Φόβον· φυγήν. ἠπεδανοῖσιν· ἀσθενέσιν. οὐτιδανοῖσιν· οὐδαμινοῖς. ἐνιπλῆξαι· ἐμβαλεῖν μετ᾽ ἐκπλήξεως, ἐμβάλλειν, ἐμπελάσαι.

3.481 Πανεπίκλοπον· πανφρόνιμον.

3.482 Λίχνον· λαίμαργον.

3.483 Ἤπαφον· ἠπάτησαν. περί· ἐν. ἔσαντες· περιβαλόντες, ἐνδύσαντες, πέμψαντες, ἐμβαλόντες, σκεπάσαντες.

3.484 Εἶδαρ· βρῶμα. δήμητρι· ἄρτῳ.

3.485 Πηκτοῖσι δώροισι· τυρῷ, τυροῖς, τῷ πεπηγμένῳ τυρῷ. ἐφυρήσαντο· συνεζύμωσαν καὶ ἀνέμιξαν, ἔμιξαν. ποίην· βοτάνην.

3.486 Τοῖσιν· τοῖς εἰρημένοις. μίνθην· καλαμίνθην· Μίνθη θυγάτηρ Κωκυτοῦ ἦν· τοῦ Ἀϊδωνέως ἐρῶντος τῆς Περσεφόνης καὶ μέλλοντος αὐτὴν λαμβάνειν εἰς ᾅδου, ἐκείνη διεβεβαιοῦτο βελτίους εἶναι, καὶ εἰ ἔλθοι, διώκειν αὐτήν·

ἡ Δημήτηρ αὐτὴν καταπατήσασα μετέβαλεν αὐτὴν ἐπὶ τὴν κακὴν βοτάνην ταύτην. κούρην· Περσεφόνην.

3.487 Ὑπουδαίην· καταχθονίαν. ἔμμεναι· εἶναι· αἰολικόν. Κωκυτίδα· τοῦ Κωκυτοῦ θυγατέρα. ἐν ᾅδου.

3.488 Κλίνατο· εὐνάσθη, ἐκλίθη, ἔκλινεν, ἔθηκεν. εὐνήν· κοίτην. Ἀϊδωνέος· Ἅιδου.

3.489 Αἰτναίοιο πάγοιο· τῆς Αἴτνης ὄρους.

3.490 Μιν· τὴν Μίνθην. κλάζουσαν· ἠχοῦσαν, λοιδοροῦσαν. ὑπερφιάλοις· ἐπῃρμένοις. ἐπέεσσι· λόγοις.

3.491 Μαργαίνουσαν· μαινομένην, μανίης λέγουσαν, τῷ ζήλῳ μαινομένη καὶ ἄτακτα ἢ ἄδικα ὀργιζομένη ἡ Δημήτηρ ἠφάνισεν αὐτὴν, τύπτουσα τοῖς πεδίλοις. ἀτάσθαλα· μωρὰ, τὰ κακὰ, ἐν ταῖς ἄταις θάλλων. μηνίσασα· ὀργισθεῖσα.

3.492 Δημήτηρ· ἡ μήτηρ τῆς Περσεφόνης. ἀμάθυνεν· ἠφάνισεν. ἐπεμβαίνουσα· τύπτουσα. πεδίλοις· ποσίν.

3.493 Φῆ· ἔφη ἡ Μίνθη. ἀγαυοτέρη· λαμπροτέρα. φυήν· τὴν ἡλικίαν.

3.494 Κυανώπιδος· εὐμόρφου, καὶ τῆς εὐοφθάλμου.

3.495 Εὔξατο· ἐκαυχήσατο. νοστήσειν· ἐλθεῖν, ὑποστρέψειν, ἐπιστραφῆναι. τὴν δέ· τὴν Περσεφόνην· ἐκαυχήσατο ἡ Μίνθη, πρὸς ἑαυτὴν μὲν τελέως μεταχωρῆσαι τὸν Ἅιδην καὶ τὴν ἑαυτῆς ἀσπάσασθαι πλέον ἕνωσιν, τὴν Περσεφόνην δ᾽ ὡς ἄχρηστον ἀποδιῶξαι μελάθρων, ὑπεριδόντα ἐκείνης.

3.496 Ἐξελάσειν· ἀποδιώξειν. πέλεν· ὑπῆρχεν. θόρεν· ἐπῆλθεν.

3.497 Ποίη· βοτάνη. οὐτιδανή· μικρά. ἐπώνυμος· τῆς Μίνθης, ἡ καλαμίνθη. ἔκθορε· ἐξῆλθεν.

3.498 Τήν· ἢ τὴν καλαμίνθην, ἢ τὸν ἡδύοσμον συμφυράσαντες ἢ ἀναμίξαντες τῷ τυρῷ καὶ τῷ ψωμῷ ἐνέβαλον ὡς δέλεαρ τοῖς ἀγκίστροις.

ἐνιφυρήσαντες· συζυμώσαντες, ἐμμίξαντες, μίξαντες ταύτην τῷ τυρῷ καὶ τῷ ψωμῷ.

3.499 Οὐ μετὰ δηρόν· μετ᾽ οὐ πολύ. ἶξεν· κατέλαβεν, ὑπεχώρησεν, ἐφώρασεν. ἀϋτμή· ὀσμὴ, εὐωδία.

3.500 Ἀντιάσας· ἐπελθών. ἀποσταδόν· ἀπὸ διαστήματος, ἱστάμενος πόρρω, πόρρωθεν.

3.501 Ὑπ᾽ ὀφθαλμοῖς· ὁρέα· γράφεται ὑπ᾽ ὀφθαλμοῖσιν ὁρᾷ, ἤως δοκεῖ. ἴκελος· ὅμοιος, παραβολή. ἀνδρί· ἀνθρώπῳ.

3.502 Τριόδοισι· τριπλαῖς ὁδοῖς. πολυτρίπτοισι· πλατείαις, πεπατημένοις, πολυοδεύτοις, πολὺ τετριμμέναις ἀπὸ τοῦ πολὺ καὶ τοῦ τρίφος ἡ ὁδὸς, ταῖς κατὰ πολὺ τετριμμέναις καὶ πολυβαδίστοις λεωφόροις, ἢ τριοδίοις, ἢ τετραδίοις. κυρήσας· ἐντυχὼν, περιτυχὼν, νοήσας.

3.503 Ἐφορμαίνων· διαλογιζόμενος, διανοούμενος, ὁρῶν.

3.504 Ἐπιβάλλεται· βούλεται, λογίζεται, ὁρμᾷ. ἀτραπόν· γράφεται εἰς ὁδόν.

3.505 Παπταίνει· ἐπιτηρεῖ, περισκοπεῖ· παπταίνει ἐτυμολογεῖται ἀπὸ τοῦ τὰ φάη πετεννύειν, οἱονεὶ φαπεταίνω, καὶ παπταίνω. ἑκάτερθε· ἔνθεν κἀκεῖθεν. νόος δέ οἱ ἠΰτε κῦμα· ὁ νοῦς δ᾽ αὐτοῦ ταράσσεται ὥσπερ κῦμα.

3.506 Εἰλεῖται· συστρέφεται, ταράσσεται. ὀψέ· καὶ μόλις. ὠρέξατο· ἐπελάβετο, ἥψατο.

3.507 Παναίολα· ποικίλα. μερμηρίζει· διανοεῖται, μερίζεται καὶ φροντίζει, βουλεύεται.

3.508 Θυμός· ἡ ψυχή. ὀϊομένῳ· διαλογιζομένῳ, ὑπονοοῦντι, ὑπολαμβάνοντι. ἀπήμονα· ἀβλαβῆ.

3.509 Ὀψέ· βραδέως. ὦρσε· ἐκίνησεν, αἰολικόν, διήγειρεν. ἤγαγεν· ἔφερεν. ἐγγύθι· πλησίον. πότμου· θανάτου.

3.510 Αὖτις· πάλιν. τρέσας· φοβησάμενος, φοβηθεὶς, ἀποφοβηθείς. ἀνεχάσσατο· ἀνεχώρησεν, ἀνέβλεψεν, ὑπεχώρησεν.

3.511 Εἶλε· ἔλαβεν. ψαύοντα· πλησιάζοντα, προσεγγίζοντα. ἔμπαλιν· εἰς τοὐπίσω. ἔτραπε· μετέστρεψεν.

3.512 Ὡς δ’ ὅτε· παραβολή. νηπίαχος· νέα. κούρη· παρθένος. κούρη πάις· τὸ μὲν ἀντὶ τοῦ παρθένος, τὸ δ’ ὡς κοινόν. ἐούσης· λειπούσης.

3.513 Βρώμης· βρώσεως. λελιημένη· ἐπιθυμοῦσά τινος βρώματος. ἠέ τευ ἄλλου· ἤ τινος ἄλλου ὑποστῆναι ἢ λαχεῖν.

3.514 Ψαῦσαι· ἅψασθαι. τρομέει· φοβεῖται. χόλον· ὀργήν. ἀναδῦναι· ἀποσχέσθαι, ἀναχωρῆσαι, καταλεῖψαι, καὶ ὑποχωρῆσαι.

3.515 Ἐλδομένη· ἐπιθυμοῦσα. τέτληκεν· ὑπέμεινεν, ὑπομένει, καρτερεῖ. ἐφερπύζουσα λάθρη· κρύφα βαδίζουσα, ἐρχομένη.

3.516 Αὖτις· εἰς τοὐπίσω. ἀνατρέπεται· ὑποστρέφει, ἀναχωρεῖ. θάρσος· θάρρος· θάρρος καὶ θράσος διαφέρει· θάρσος μὲν γὰρ ἡ κατὰ λόγον ὁρμὴ καὶ τόλμη, θράσος δ’ ἡ ἄλογος ὁρμὴ καὶ ἀπαιδευσία.

3.517 Ἐμπίπτει· ἐμβάλλει, ἐπέρχεται.

3.518 Παπταίνοντα· ἐπιτηροῦντα, περιβλέποντα. ποτί· ἐν. τέτανται· ἐξήπλωνται.

3.519 Ὅγ’· ὁ κεστρεύς. ἐπεμβαίνων· ἐμπίπτων, καὶ πλησιάζων. ἀνελίσσεται· ἀνθυποστρέφει, ἀνακόπτεται, ἀναστρέφεται. ἤπιος· ἥσυχος, πρᾳός.

3.520 Θαρσήσας· θάρρος λαβών. ἑτοίμως· προχείρως.

3.521 Ψαῦσε· ἥψατο, οὐκ ἐκράτησεν. βορῆς· τροφῆς. πάρος· πρῶτον, πρότερον. μάστιξε· προσέγγισεν. ἐγείρων· κινῶν.

3.522 Μήπου· γράφεται μή οἱ. οἱ· αὐτῷ. θέρμετ’· θερμαίνεται, ζῇ. ἀϋτμή· πνοή.

3.523 Ζωοῦ· ζῶντος· γνώμη. ἀπώμοτον· ἀσύνηθες, μισητὸν, ἀπηγορευμένον, ἀμέτοχον. πάσασθαι· φαγεῖν.

3.524 Διακνίζει· κατακόπτει, δαγκάνει.

3.525 Περιξύων· παραψαύων. χαλκῷ· ἀγκίστρῳ.

3.526 Πεῖρεν· ἐσούβλισεν, ἐκέντησεν. ἀνακρούων· ἀνελκύων. ἐέργων· κωλύων.

3.527 Ἀναγκαίῃσι· βίαις.

3.528 Ἂν δ’ ἔρυσε· ἀνείλκυσεν, εἵλκυσεν. σπαίροντα· ψυχοραγογοῦντα. κάββαλεν· κατέβαλεν. ἐχθρήν· ἰχθύν.

3.529 Ὀλοοῖσι· ὀλεθρίοις. παρήπαφον· ἠπάτησαν.

3.530 Ἴσος· ὅμοιος.

3.531 Κατεντύνουσιν· εὐτρεπίζουσι, κατασκευάζουσιν.

3.532 Τὸ μέν· ἄγκιστρον. ἄκλοπον· ἀδολίευτον. ᾐώρηται· κρέμαται, ἐκκρέμαται.

3.533 Μηρίνθου· διά· μήρινθος σχοῖνος ..... ἀκάχμενον· ἐστομωμένον, ἠκονημένον.

3.534 Τριπάλαιστον· τριῶν παλαιστῶν μέτρον· ἀνώτερον τοῦ ἀγκίστρου ἐπὶ τρεῖς παλαιστὰς τὸ δέλεαρ βάλλεται, ἐστὶ δὲ παλαιστὸν μέτρον τῶν δ′ δακτύλων συσφιγχθέντων ἐν παλάμῃ, ὁ δὲ νοῦς, ὅτι ἄνωθεν τοῦ ἀγκίστρου ὅσον τριῶν παλαιστῶν μέτρον ἀναδοῦσι δέλεαρ ἰχθὺν ἕνα τῶν λευκῶν ἐμπείρως· οὐ γὰρ ἐμβάλλουσι τὸ δέλεαρ αὐτοῖς ἀγκίστροις ἐπὶ τῇ ἄγρᾳ τῶν ξιφιῶν, ὡς καὶ ἐπὶ τοῖς ἄλλοις πᾶσιν ἰχθύσιν. ἀναψάμενοι· ἀναδήσαντες. καθύπερθε· ὑπεράνω.

3.535 Μαλθακόν· τῶν καθαρῶν μὴ ἐχόντων λεπίδας. ἀργεννῶν· λευκῶν. χείλεος ἄκρου· κατὰ τοῦ χείλεος ἄκρου.

3.536 Ἐπισταμένως· ἐπιστημόνως, εὐτέχνως. θοῦρος ὁρμητικός. ἵκηται· ἔλθῃ.

3.537 Δαιτρεύει· καταμερίζει, κόπτει, κατακόπτει. δέμας· σῶμα. ἄορι· σπάθῃ. λάβρῳ· μανικῷ.

3.538 Δαϊζομένοιο· κοπτομένου. καταρρεῖ· κατέρχεται. καταρρέει· καταπίπτει, κατακόπτει. ἄψεα· μέλη. δεσμοῦ· ἀπὸ τοῦ.

3.539 Αὐταῖς δ’ ἀγκίστροιο· σὺν αὐταῖς ταῖς γενύεσσι τοῦ ἀγκίστρου, ἐν αὐταῖς τοῦ ἀγκίστρου ταῖς γενύεσσι περιστρέφεται τὸ δέλεαρ. περιστρέφεται· κυκλοτερῶς περιειλεῖται.

3.540 Αὐτάρ· δέ. δεδάηκεν· ἔμαθεν, ἐπιστημόνως ἔγνω. γναμπτὸν δόλον· γράφεται ἐὸν μόρον. ἐὸν μόρον· τὸν ἴδιον θάνατον. βαρεῖαν· περὶ τὴν βαρεῖαν.

3.541 Δαῖτα· τροφήν. ἀγρευτός· κρατητός. ἀνέρος· ἁλιέως. ἀλκῇ· δυνάμει.

3.542 Ἐπὶ ξιφίῃ· κατὰ ξιφίου. ὁπλίζονται· τεχνῶνται, μηχανῶνται.

3.543 Ἔξοχα· ἐξαιρέτως. Τυρσηνόν· Σικελόν. ἀγρώσσουσιν· ἀγρεύουσιν, οἵτινες κατὰ τὸ Τυρσηνικὸν πέλαγος ἁλιεύουσι καὶ περὶ τὴν καλουμένην Μασσαλίαν πόλιν καὶ τοὺς Κελτούς.

3.544 Ἱερήν· μεγάλην.

3.545 Κεῖθι· ἐκεῖ. ἔκπαγλοι· θαυμαστοὶ, καταπληκτοί. οὐδὲν ὁμοῖοι· διὰ τὸ ὑπερβάλλον μέγεθος.

3.546 Ἅπλατοι· ἀπροσπέλαστοι ἀπὸ τοῦ α τοῦ κατὰ πολὺ καὶ τοῦ πελάω, οἱ μεγάλην πλεῦσιν ἔχοντες. ἐννεμέθονται· ἐντρέφονται.

3.547 Οἱ δ'· οἱ ἁλιεῖς. ἀκάτους· νῆας. ἐϊσκομένους· ὁμοίους, προσομοιουμένους, ὁμοιουμένους. ξιφίῃσιν· ξιφίαις, τοῖς· οἱ ἁλιεῖς κατασκευάσαντες ἀκάτιον ὅμοιον τῷ τοῦ ξιφίου εἴδει κατά τε τὴν ἐπιμήκη ῥῖνα καὶ τὰ ἄλλα, ἔτι δὲ καὶ φάσγανα ἢ ξίφη τῷ τοῦ ξιφίου κατὰ τοῦ ξιφίου καὶ τῆς ἄγρας αὐτοῦ οὕτως φέρονται.

3.548 Δέμας· καὶ τὸ σῶμα. ἰχθυόεν· ὅμοιον τῷ ξιφίᾳ. φάσγανα· ξίφη. τεχνήσαντες· κατασκευάσαντες.

3.549 Ἀντίον· ἐναντίον ξιφίου. ἰθύνουσιν· ὁρμῶσιν. ἀναδύεται· ἀναβάλλεται.

3.550 Ἑλπόμενος· λογιζόμενος. ἐϋσέλμους· εὐκαθέδρους.

3.551 Ἑτέρους· συνήθεις, φίλους.

3.552 Κυκλώσονται· περικλείσωσι. ἐφράσαθ'· ἐνόησεν.

3.553 Αἰχμῇ· ξίφει ἀγκίστρου. τριγλώχινι· τρεῖς γλώσσας. πεπαρμένος· ἀπὸ τοῦ πείρω, σεσουβλισμένος, κεκεντημένος. ἀλκή· δύναμις.

3.554 Φεύγειν· εἰς τό. ἱεμένῳ· προθυμουμένῳ. ἀναγκαίη· ἔστιν εἰς αὐτόν. δαμῆναι· δαμασθῆναι.

3.555 Νηός· πλοίου. ἀμυνόμενος· μαχόμενος, τιμωρούμενος, ἀντιπαρατασσόμενος. κενεῶνα· βάθος, πλευρὰν, τὸ πλάγος.

3.556 Φασγάνῳ· τῷ περὶ στόματι αὐτοῦ ξίφει. ἀντετόρησε· ἐτρύπησεν, ἀντερύπησεν. διαμπερές· διόλου, διὰ παντός. ἄλκιμος· ἰσχυρός.

3.557 Οἱ δέ· οἱ ναῦται. θοῶς· ταχέως. βουπλῆγος· πελέκυος. τυπῇσιν· τύψεσι, ταῖς πληγαῖς.

3.558 Γενύων· ἐξ αὐτῶν, τοῦ στόματος. ἤραξαν· κατέκοψαν, ἔκοψαν. ξίφος· τοῦ ξιφίου.

3.559 Ἕλκεϊ· τραύματι, τρώματι, νώτῳ. γόμφος· τὸ ξίφος, ῥίν. ἄρηρεν· ἥρμοσεν, ἡρμόσθη. ὀρφανός· ἐστερημένος. ἀλκῆς· ἀπὸ τῆς ῥινός.

3.560 Ὡς· καθὰ, παραβολή. δυσμενέεσσι· πολίταις, ἐχθροῖς ἀνθρώποις. τεύχοντες· ποιοῦντες, ἄλλοι. ἄρηος· πολέμου.

3.561 Ἰέμενοι· προθυμούμενοι. ἄστεος· πόλεως. ἱκέσθαι· ἐλθεῖν, παραγενέσθαι.

3.562 Ἔντεα· ὅπλα. συλήσαντες· αἵματος ἀφελόμενοι. ἀρηιφάτων ἀπὸ νεκρῶν· τῶν ἐν πολέμῳ φονευθέντων, φονευθέντων δι᾽ ἄρεα, πολεμοφονεύτων.

3.563 Αὐτοί· οἱ πολέμιοι. θωρήξαντο· ὡπλίσαντο, ἡρματώθησαν. ἄγχι· μέχρι.

3.564 Οἱ δ᾽· πολῖται. ἐπειγομένοις· βιαζομένοις, διωκομένοις.

3.565 Ἀγκλίνουσι· ἀνοίγουσιν, ἀνακλίνουσιν. θύρετρα· θύρας. οὐ γήθησαν· οὐκ ἐχάρησαν ὡς ἑταίροις. ἑταίροις· ἐπὶ, ἐν φίλοις.

3.566 Ἤπαφε· ἠπάτησεν.

3.567 Μετ᾽· ἐν. ἀγκοίνῃσι· ἀγκίαις. λίνοιο· δικτύου.

3.568 Κυκλωθείς· περικλεισθείς. μέγα νήπιος· ὁ κατὰ πολὺ ἀνόητος. ἀφροσύνῃσιν· μωρίαις.

3.569 Ὄλλυται· φθείρεται. θρώσκει· πηδᾷ. ὑπεκδῦναι· ἐξελθεῖν, ὑπεξελθεῖν τοῦ δικτύου. μενεαίνων· προθυμούμενος, προθυμῶν· τὸ μενεαίνω σημαίνει τρία, τὸ λειποψυχῶ, ὡς τό
κτεινόμενος μενέαινε·
καὶ τὸ ὀργίζομαι, ὡς τό
νήπιοι οἳ Ζηνὶ μενεαίνομεν.
καὶ τό προθυμοῦμαι, ὡς τό
μενέαινε κῦδος ἀρέσθαι.

3.570 Τρομέων· φοβούμενος. πλεκτὸν δόλον· δίκτυον. αὖτις· πάλιν.

3.571 Χάζεται· ὑποχωρεῖ. ὅπλον· ξίφος. ἐνὶ φρεσίν· ἔρχεται. ἄρηρεν· ἡρμοσμένον ἐστὶν, ἁρμόζει.

3.572 Γενύων· τοῦ στόματος. δειλός· ὑπότρομος. μένει· ὑπάρχει. κεκαφηότι· ἠσθενεκότι, καταξήρῳ, δεινῷ, ἐκπεπνευμένῳ.

3.573 Ἐξερύσωσιν· ἐξελκύσωσιν. ἐπ᾽ ἠιόνας· ἐπ᾽ αἰγιαλούς. ἔνθα· ἐνταῦθα. δούροις· ξύλοις.

3.574 Ἐπασσυτέροισι· πυκνοτέροις. καταΐγδην· ὁρμητικῶς, συνεχῶς. ἐλάοντες· ἐλαύνοντες, συντρίβοντες.

3.575 Κρᾶτα· κεφαλήν. συνηλλοίησαν· συνέτριψαν, συνέθλασαν. ὄλλυται· φθείρεται. πότμῳ· γράφεται θυμῷ. θυμῷ· μωρίᾳ.

3.576 Ἀφροσύνη ἀγνωσία. σκόμβρον· σκόμβρος ὁ σκαιὸς εἰς βρῶσιν· κακόχυμος γὰρ τὸ ζῶον. ἔλε· ἔλαβεν, ἐφόνευσεν. πίονα· λιπαρόν.

3.577 Ῥαφίδας· βελονίδας. φῦλα συνοδόντων· περίφρασις. πολυσπερέων· διεσπαρμένων. συνοδόντων· γένος ἰχθύος.

3.578 Λεύσσοντες· βλέποντες. ἐν ἕρκεϊ· δικτύων. πεπτηῶτας· περιπεσόντας, πεσόντας.

3.579 Ἄλλους· σκόμβρους. ἠράσαντο· ἐπεθύμησαν. λίνου· τοῦ δικτύου. πολυωπόν· πολυόμματον, πολυτρύπητον, πολλὰς ὠπὰς ἔχον.

3.580 Εἰσδῦναι· εἰσελθεῖν. εἰσορόωντας· εἰς αὐτὸν βλέποντας.

3.581 Τερπωλή· τέρψις. ἀπειρήτοισιν· ἀπείροις, ἀνοήτοις.

3.582 Λεύσσοντες· βλέποντες. ἀναιθομένοιο· ἀναπτομένου, καιομένου.

3.583 Μαρμαρυγήν· λαμπηδόνα, αἴγλην. ἰαινόμενοι· εὐφραινόμενοι.

3.584 Ψαῦσαι· ἅψασθαι. ἱμείρουσι· ἐπιθυμοῦσιν. ὀρέγουσι· ἐκτείνουσιν, ἐντείνουσιν.

3.585 Νηπιέην· ἄφρονα, μωρὰν, νηπιώδη. ἀνάρσιον· ὀλέθριον, μισητὸν, ἐχθρόν. ἐξεφάνη· ἐγνώσθη.

3.586 Ἱμείρουσι· ἐπιθυμοῦσιν. ἀνοστήτοιο· ἀνυποστρόφου. λόχοιο· δικτύου.

3.587 Ἐσπεσέειν· εἰσελθεῖν. κευθμῶνα· τὸ βάθος. ἤντησαν· ἔτυχον, ἀπέλαυσαν. ἔρωτος· ἐπιθυμίας.

3.588 Ἔνθ’· τότε, ἐντὸς τοῦ δικτύου. κέλσαντες· δραμόντες, ἐντυχόντες, ἐμπεσόντες. εὐρυτέροισι· πλατυτέροις. λόχοισιν· βρόχοις.

3.589 Ἔκθορον· ἐξέθορον. οἱ δ’· οἱ ἄλλοι δέ. ἐρχθέντες· κρατηθέντες, ἐμπλακέντες.

3.590 Πικρόν· ἐλεεινόν. ἀνέτλησαν· ὑπέμειναν, ὑπὸ τῶν βρόχων αὐτῶν κρατοῦνται. σφιγκτόν· πεπνιγμένον, πνικτόν. ἐξανύσαντες· πληρώσαντες.

3.591 Ἠιόνεσσι· ἐν ταῖς. καθελκομένοιο· κατασυρομένου. λίνοιο· δικτύου.

3.592 Ἀμφοτέρωθεν· ἀπὸ τῶν δύο μερῶν. ἀρηρότας· ἡρμοσμένους, ἐνηρμοσμένους τοῖς βρόχοις. γόμφους· ἥλους.

3.593 Φρονέοντας· προθυμοῦντας, ἐπιχειροῦντας. ἄρκυν·

3.594 Ἤδη· ἄρτι. μεμαῶτας· προθυμουμένους. ὑπεκδῦναι· ὑπεξελθεῖν. κακότητα· τὴν φθοράν.

3.595 Ἰκμαλέοισιν· διύγροις. ἐνισχομένους· κεκρατημένους.

3.597 Ἀεθλεύουσιν· κακοπαθοῦσιν.

3.597bis Ἀφροσύνῃ· ἀγνωσίᾳ. ἵμερος· ἐπιθυμία.

3.598 Ἐμπίπτει· ἔγκειται, ἐπέρχεται. λίνου· δικτύου. λαγόνεσσι· ἐν, τοῖς βάθεσιν. μιγῆναι· εἰσελθεῖν, ἐμπεσεῖν.

3.599 Κείνοισιν· ἔστι δυνατὸν, ἔστι προθυμία, ἐπιθυμία ἔστιν. ὑπόβρυχα· ὑπὸ τὸν βρόχον τοῦ δικτύου. γαστέρος· τοῦ δικτύου.

3.600 Ἐνδύνειν· ὑπάρχει εἰσέρχεσθαι. σκολιοῖσι· ἐπικαμπέσι. ἐπαΐσσουσιν· ἐφορμῶσιν, ὁρμῶσιν.

3.601 Μηδόμενοι· βουλευόμενοι, ζητοῦντες, βουλεύοντες. μηδόμεναι· ζητοῦσαι. πόρον· διάβασιν. ἄρκιον· ἀρκοῦντα, ἀρκετὸν, κρείττονα.

3.602 Ὑγρόν· κατά. ἐρειδομένοις· προθύμοις. τέταται· ἐξήπλωται, πήγνυται. μῆχος· μηχανὴ, μηχάνημα.

3.603 Ἐκφυγέειν· τὸν λίνον. περιστομίῳ· τῷ τοῦ στόματος, τῷ περὶ τὸ στόμα. μογέοντες· κακοπαθοῦντες, ταλαιπωροῦσαι.

3.606 Ἐκπροφύγωσι· ἐκφύγωσιν.

3.607 Ἐπιστρωφῶσι· στρέφονται, ἐπιστρέφονται. λίνῳ· δικτύῳ. ἐπιμηνίουσαι· ἐπιμαινόμεναι, μνησικακοῦσαι, ὀργιζόμεναι.

3.608 Δάγματ'· δήγματα, τρώματα, ὀδόντας. ἐπιπρίουσι· ἐπιβάλλουσιν· γράφεται ἐνιπείρουσι· κεντοῦσιν. τὸ δέ· τὸ λίνον. δύεται· ὑπεισέρχεται.

3.609 Ἴσχει· κρατεῖται, κατέχει. ἐμμενέως· στερεῶς, ἰσχυρῶς.

3.610 Αὐτάρ· δέ. ἴσοι· ὅμοιοι, ὅμοιοι ταῖς τάξεσι τῶν ἀνδρῶν οὕτως περιπατοῦσιν. στείχουσι· πορεύονται. λόχοισι· συντάξεσιν ἀνδρῶν.

3.611 Κεκριμένοι· κεχωρισμένοι. ἐφείη· ἐπιπέμψοι, ἔμβαλε, πέμψεν.

3.612 Ἀποτροπάδην· εἰς τοὐπίσω τρεπόμενοι, φεύγοντες, φευκτικῶς, διακεχωρισμένως. λοξόν· πλάγιον, στρεβλόν. φάος· τὸ βλέμμα.

3.613 Ἐπικλίνουσι· ἐπιβάλλουσιν.

3.614 Τις· αὐτῶν. προθορῶν· προπηδήσας ἢ προδραμών. ἑτέρης· μιᾶς. ἑτέρης στιχός· ἀπ᾽ ἄλλης τάξεως.

3.615 Τις· ἕτερος, τῶν ἄλλων.

3.616 Ἐπέλασσε· ἐπλησίασεν.

3.617 Δαιτί· τῷ δελέατι. γεγηθότες· χαίροντες. ἰαίνονται· εὐφραίνονται.

3.618 Ὑποφθαδόν· συντόμως, δρομαίως, ἐριστικῶς.

3.619 Ἁλούς· ἀγρευθεὶς, κρατηθείς· ἀθύρμασι· παιδιαῖς, παιγνίοις. καγχαλόωντες· χαίροντες.

3.621 Ὠκεανοῖο· ἢ τῶν Γαδείρων. στείχουσι ἔρχονται.

3.622 Μετά· εἰς. λύσσαν· συνουσίαν, τὴν πύρωσιν. οἰστρήσωσι· ἐπιθυμήσωσι, κινηθῶσι, μανῶσιν. γάμοιο· ἀπὸ τοῦ.

3.624 Ἀγρώσσουσιν· ἀγρεύουσιν, ἀγρεύονται ὑπὸ τῶν Ἰβήρων. κομόωντες· θάλλοντες, ἐπαιρόμενοι. βίῃ κομόωντες· ἰσχυροί.

3.625 Δεύτερα· κατὰ δεύτερον λόγον. Ἠριδανοῖο ποταμοῦ.

3.626 Φωκαίης τε παλαίφατοι· ἔποικοι γὰρ τῶν Φωκέων οἱ Κελτοί. παλαίφατοι· παλαιοί· ἀρχαῖοι γὰρ οἱ Φωκεῖς. ἐνναετῆρες· κάτοικοι.

3.627 Τὸ τρίτον· ἐκ τρίτου. Τρινακρίδι νήσῳ· Σικελίᾳ· Τρινακρία ἡ Σικελία, κατὰ σχῆμα τρίγωνον κειμένη καὶ τρεῖς γωνίας καὶ ἄκρας ἔχουσα, ὧν ἑκάστη πόλιν ἔχει παρ᾽ ἑαυτῇ.

3.628 Ἐνναέται· κάτοικοι. πόντου· πελάγους. Τυρσηνοῖο· Τυρσηνικοῦ.

3.629 Ἔνθεν· ἀπὸ τούτου τοῦ πόντου, ἐκ τούτου. ἀπειρεσίοις· πολλοῖς. ἄλλος· θύννος.

3.630 Σκίδνανται· σκεδάννυνται, σκορπίζονται. ἐνιπλήθουσι· πληροῦσιν.

3.631 Ἔκπαγλος· ἔξοχος, θαυμαστή. μεθίσταται· ἐγγίνεται. ἰχθυβόλοισιν· ἁλιεῦσιν.

3.633 Πάμπρωτον· ἐν πρώτοις, πρότερον. ἐπεφράσσαντο· ἐπενόησαν.

3.634 Ἐπηρεφέεσσιν· ὑψηλαῖς, πυκναῖς, ἐσκεπασμέναις, δασέσι, δασυτάταις.

3.635 Αἴθρῃ· εὐδίᾳ.

3.636 Σκεπανοῖς κευθμῶσιν· σκεπάσμασι, κατασκόποις, ἐσκεπασμένοις. ἐναίσιμα· καλὰ, δίκαια, ἐπαινετὰ, ἁρμόδια.

3.637 Ἔνθ'· τότε. ὑψικόλωνον· ὑψηλὴν σκοπιὰν, ὑψηλὸν ξύλον, ὑψηλὸν ὄρος.

3.638 Ἴδρις· ἐπιστήμων, ἔμπειρος. κιούσας· ἐρχομένας, παραγινομένας, τρεχούσας.

3.639 Τεκμαίρεται· στοχάζεται, σημειοῦται. αἵ τε καὶ ὅσσαι· ποῖαι καὶ πόσαι, τίνες τε καὶ πόσαι.

3.640 Πιφαύσκει· φανεροποιεῖ. ἑτάροισι· τοῖς κοινωνοῖς καὶ φίλοις, συντεχνίταις, συντρόφοις.

3.641 Προβέβηκεν· προΐστανται, προέρχεται, προέρχονται. πυλωροί· εἴσοδοι, μεγάλαι.

3.642 Ἐν δέ· σὺν τούτοις. μύχατοι· βαθύτατοι, τελευταῖοι.

3.643 Θοῶς· ταχέως. σεύονται· ὁρμῶσιν. ἐπί· κατά. στίχας· συντάξεις.

3.644 Καταφυλαδόν· κατὰ γενεὰς, κατὰ τάξιν. οἱ μέν· τῶν θύννων.

3.645 Ὁπλότεροι· νεώτεροι. τοὶ δ'· τινές. γεραίτεροι· γηραιότεροι. οἱ δ' ἐνὶ μέσσῃ· μεσήλικες.

3.646 Ὥρῃ· ἡλικίᾳ. ἀπειρέσιοι· ἄπειροι. λίνων· δικτύων. ῥέουσιν· εἰσέρχονται.

3.647 Ἰμείρουσι· θέλουσιν οἱ ἁλιεῖς. ἱμείρωσι· ἐπιθυμῶσιν. ἀνέχηται· κατάξει· ἡ λῆξις τὸ πλῆθος δικτύου. ἀνέληται· καταλείπεται, λάχῃ.

3.648 Ἀφνειή· πλουσία. ἔξοχος· μεγάλη, πολλή. ἵσταται· ἐστίν.